Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΓΕΩΡΓΙΟΥ Ν. ΖΟΥΚΗ

ΑΝΑΓΝΩΣΤΙΚΟΝ

ΤΗΣ ΑΡΧΑΙΑΣ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΗΣ

Α' καὶ Β' ΓΥΜΝΑΣΙΟΥ

ΑΡΧΑΙΑ Α/Γ=20

002
ΚΛΣ
ΣΤ2Β
350

ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΔΙΔΑΚΤΙΚΩΝ ΒΙΒΛΙΩΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΣΤ' 89 ΣΧ13
Ζούμπουρλής Ν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

25

ΑΝΑΓΝΩΣΤΙΚΟΝ
ΤΗΣ ΑΡΧΑΙΑΣ
ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΗΣ

ΔΩΡΕΑ
ΕΘΝΙΚΗΣ ΚΥΒΕΡΝΗΣΕΩΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τό παρὸν βιβλίον δέον νὰ διαφυλαχθῆ καὶ διὰ τὴν Β' τάξιν εἰς τὴν ὁποίαν ἐπίσης θὰ χρησιμοποιηθῆ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΣΤ 89 ΣΧΒ
Ζούκης, Γεώργιος Ν.

ΓΕΩΡΓΙΟΥ Ν. ΖΟΥΚΗ

ΑΝΑΓΝΩΣΤΙΚΟΝ
ΤΗΣ ΑΡΧΑΙΑΣ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΗΣ

Α' καὶ Β' ΓΥΜΝΑΣΙΟΥ

21 ΑΠΡΙΛΙΟΥ

ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΔΙΔΑΚΤΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΑΘΗΝΑΙ 1972

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

002
ΗΝΕ
ΕΓΖΒ
350

ΒΙΒΛΙΟΘΗΚΗ ΣΟΥΛΑΣ
ΕΔΩΡΗΘΗ ΣΤΟ
Οργ. Ενιδ. Δημ. Βιβλίων
αύξ. αριθ. εισαγ. 2260 ημ/νία 19/7/2

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΤΜΗΜΑ ΠΡΩΤΟΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΜΕΡΟΣ Α΄

1. Ὁ πιστὸς φίλος.

Πιστεύω[1] τῷ φίλῳ. Πιστὸν φίλον ἐν κινδύνοις γιγνώσκεις[2]. Ὁ φίλος τὸν φίλον ἐν πόνοις[3] καὶ κινδύνοις οὐ λείπει. Τοῖς τῶν φίλων λόγοις ἀεὶ πιστεύομεν. Εἰ[4] κινδυνεύετε, ὦ φίλοι, τοὺς τῶν ἀνθρώπων τρόπους[5] γιγνώσκετε· οἱ μὲν γὰρ ἄπιστοι φίλοι οὐ μετέχουσι[6] τοῦ κινδύνου, οἱ δὲ πιστοὶ συγκινδυνεύουσι τοῖς φίλοις. Πιστοῖς φίλοις μᾶλλον[7] ἢ χρυσῷ καὶ ἀργύρῳ πιστεύομεν. Οἱ ἀγαθοὶ ἄνθρωποι καὶ ἐν κινδύνοις ἀεὶ ἀγαθὸν ἔχουσι θυμόν[8]· τῷ γὰρ θεῷ πιστεύουσιν. Ὦ φίλε, ὁ θεὸς τοὺς ἀγαθοὺς ἀνθρώπους οὐ λείπει. Πολλοὶ ἄνθρωποι τῷ πλούτῳ μᾶλλον ἢ τῷ θεῷ πιστεύουσι.

2. Ὁ γεωργός.

Τῶν κατοίκων τῆς Ἑλλάδος πολλοὶ γεωργοί ἐσμεν. Ἐν δὲ τῷ οἴκῳ ποίμνια καὶ ζῷα τρέφομεν. Πολλάκις δ' ὅμως μάτην[1] τοὺς ἀγροὺς ἡμεῖς θεραπεύομεν· οἱ μὲν γὰρ κάπροι τοὺς καρποὺς διαφθείρουσιν[2], οἱ δὲ λύκοι τὰ πρόβατα ἁρπάζουσι. Τότε ἐν ἀπόρῳ[3] ἐσμὲν καὶ μάταιοι οἱ πόνοι εἰσίν.

Τοῦ γεωργοῦ ἔργον ἐστὶ φυτεύειν καὶ σπείρειν· ὁ δὲ θεὸς αὐξάνει τὸν σῖτον καὶ τοὺς τῶν δένδρων καρπούς· ἄνευ γὰρ ὄμβρου[4] καὶ ἡλίου οὐκ ἔστι[5] καρπὸν φέρειν ἐκ τῶν φυτῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Διὸ νόμος[6] τῶν γεωργῶν ἐστι τοῖς τῶν ἀγρῶν καρποῖς τοὺς θεοὺς θεραπεύειν.

Τοῖς γεωργοῖς ὁ βίος μεστὸς[7] πόνων ἐστί. Μάτην, ὦ γεωργοί, σπείρετε καὶ φυτεύετε, εἰ μὴ[8] τὸν θεὸν βοηθὸν ἔχετε· οὕτω μόνον, εἰ ὁ θεὸς συνεργὸς ἐστιν, ἐστὲ μακάριοι[9].

3. Ὁ Περσικὸς στρατὸς ἐπὶ τὰς νήσους τὰς Ἑλληνικάς.

Αἱ νῆσοι τοῦ Αἰγαίου κατὰ τὸ ἄκρον[1] Σούνιόν εἰσιν. Ἐν ταῖς νήσοις τὸ ἀρχαῖον οἱ κάτοικοι ἀμπέλους ἐθεράπευον· περιέκλειον δὲ καὶ ἐχώριζον τὰς ἀμπέλους βάτοις καὶ ἀτραποῖς[2]. Τῶν νήσων ἡ Νάξος[3] ἔνδοξος ἦν ταῖς ἀμπέλοις, ἡ δὲ Δῆλος[4] τῷ ἱερῷ. Ὅτε ὁ στρατηγὸς τοῦ Δαρείου ἐπὶ τὰς νήσους ἐστράτευε, τὸ πρῶτον ἐπὶ τὴν Νάξον ἀπέβαινεν[5]. Ἐνταῦθα τοὺς οἴκους ἔκαιε καὶ τὰς ἀμπέλους ἔφθειρεν. Εἶτα πρὸς τὴν Δῆλον τὸν στόλον ἔφερεν. Οἱ κάτοικοι δ' ὅμως τῆς Δήλου εἰς Τῆνον[6] ἔφευγον. Τότε τοῖς Δηλίοις ὁ στρατηγὸς ἀγγέλους ἔπεμπε καὶ ἔλεγε· « Διατὶ οὐκ ἐμένετε ἐν τῇ νήσῳ ; οὐκ ἐγιγνώσκετε ὅτι τὸν αὐτὸν[7] θεὸν καὶ ἡμεῖς θεραπεύομεν ; ». Οἱ δὲ Δήλιοι ἔλεγον· « Σύ, ὡς λέγεις, φίλος ἔκπαλαι[8] ἦσθα τῷ θεῷ· καίτοι δὲ σὺ καὶ οἱ ἄλλοι στρατηγοὶ φίλοι ἦτε, ὅμως δ' ἐπεβουλεύετε[9] τοῖς κατοίκοις τῶν νήσων ».

4. Θ ε τ τ α λ ί α.

Ὅριον τῆς Θετταλίας τὸ παλαιὸν πρὸς[1] τῇ θαλάττῃ ἦν ἡ παραλία ἀπὸ Θερμοπυλῶν μέχρι τῆς ἐκβολῆς τοῦ Πηνειοῦ ποταμοῦ. Πρὸς τὴν μεσόγαιαν ἡ χώρα πεδίον ἐστί, κύκλῳ δ' ἄκραι[2] τὴν χώραν περικλείουσι. Τῶν κατοίκων τῆς Θεσσαλίας οἱ μὲν ταγοὶ[3] κύριοι τῆς χώρας ἦσαν, οἱ δὲ γεωργοὶ τοὺς ἀγροὺς ἐθεράπευον καὶ ἐν ταῖς νομαῖς[4] τὰ ποίμνια ἔνεμον[5].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐν Θετταλίᾳ οἱ ποταμοὶ ἐν ταῖς πηγαῖς μικροί εἰσιν, ἐν δὲ τοῖς πεδίοις πολλαχοῦ λιμνάζουσιν. Οἱ ποταμοὶ τὴν χώραν πολλάκις κατακλύζουσι καὶ τὴν γεωργίαν καὶ τὰς νομὰς βλάπτουσιν. Οἱ κάτοικοι τότε ἐν ἀπορίᾳ εἰσίν. Ἐν ταῖς εὐφορίαις δ' ὅμως ἡ Θετταλία ἐκφέρει σῖτον, κριθάς, ὀπώρας· τρέφει δὲ ἀγέλας ἵππων καὶ προβάτων. Τὴν δ' ἐκ τῶν ἀγρῶν κομιδὴν[6] ἐφ' ἁμαξῶν εἰς τὰ ταμιεῖα[7] τῶν οἰκιῶν φέρουσι.

5. Ἀνατροφὴ τῶν νέων ἐν Ἀθήναις.

Ἀ ν ά χ α ρ σ ι ς[1]. Τίς ὁ χῶρός ἐστι ; τί δ' ἐν αὐτῷ οἱ νεανίαι πράττουσι ; τί δὲ θαυμάζουσι τῶν πολιτῶν οἱ πρεσβῦται[2] καὶ οἱ νέοι ἐν[3] τοῖς θεαταῖς ;

Σ ό λ ω ν. Ὁ χῶρος γυμνάσιόν[4] ἐστιν· ἐν αὐτῷ οἱ θεαταὶ θαυμάζουσι τὰς ἀρετὰς τῶν νεανιῶν καὶ τὰς εὐεξίας[5] καὶ τόλμας καὶ φιλοτιμίαν τῶν ἀγωνιστῶν. Ἐπαίνου δ' ἀπολαύουσιν οἱ νικηταί.

Ἀ ν ά χ. Ἐγώ, ὦ Σόλων, ἐμάνθανον ὅτι σὺ εὑρετὴς τῶν ἐθίμων εἶ καὶ εἰσηγητὴς καὶ συναρμοστὴς[6] πολιτείας. Ἐθέλω οὖν σε διδάσκειν με ὡς μαθητὴν περὶ αὐτῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σόλων. Ἡμεῖς τοὺς πολίτας ψυχὴν τῆς πολιτείας νομίζομεν· τὴν δ' ἀνατροφὴν παιδαγωγοῖς ἐπιτρέπομεν καὶ πρὸς πόνους ἐθίζομεν τοὺς νεανίας. Ὅτε δ' ἔφηβοί εἰσι, τοὺς μὲν[7] ὁπλίτας, τοὺς δὲ πελταστάς, τοὺς δὲ τοξότας τάττομεν. Διδάσκομεν δ' αὐτοὺς ἀπὸ παιδίων καὶ παρὰ τῶν γεωργῶν λαμβάνομεν διδαχάς· οἱ γὰρ γεωργοὶ τὰ φυτά, ἕως μὲν μικρά ἐστι, φυλάττουσιν, ὅτε δὲ αὐξάνουσι, τοῖς ἀνέμοις ἐπιτρέπουσιν. Οὕτω καὶ ἡμεῖς τοὺς νέους, ἕως μὲν παιδία εἰσί, φυλάττομεν αὐτούς, ὅτε δὲ νεανίαι, παρέχομεν αὐτοῖς ἐλευθερίαν· τότε γὰρ οὐκ ἔχουσι κίνδυνον.

6. Ἀνατροφὴ τῶν νέων παρὰ Πέρσαις.

Οἱ Πέρσαι τοὺς νέους παρὰ τοῖς δημοσίοις διδασκάλοις ἐπαίδευον ἐν κοινοῖς διδασκαλείοις[1]. Οἱ διδάσκαλοι τῶν Περσῶν σοφοὶ καὶ χρηστοὶ πολῖται ἦσαν. Τοὺς φαύλους[2] ἐν ταῖς συνηθείαις[3] νέους ἰσχυρῶς[4] ἐκόλαζον. Διὸ δικαιοσύνην ἐμάνθανον καὶ πονηροῦ ἢ αἰσχροῦ ἔργου ἀπεῖχον. Τὴν δ' ἀδικίαν ἔφευγον καὶ τὴν φιλίαν ἐθεράπευον· ἡ γὰρ τῶν δικαίων φιλία ἀγαθῶν πηγή ἐστιν, ἡ δὲ τῶν ἀδίκων ἀπατηλὴ[5] καὶ οὐ μόνιμος[6]. Οὕτω οἱ νέοι τῶν Περσῶν ὕστερον ἀγαθοὶ μὲν καὶ φιλόστοργοι, φιλόκαλοι δὲ καὶ φιλότιμοι πολῖται ἦσαν. Καὶ τὴν ἀχαριστίαν δὲ τῶν νέων ἐκόλαζον οἱ Πέρσαι· τοὺς γὰρ ἀχαρίστους ἀδίκους ἐνόμιζον οὐ μόνον περὶ φίλους, ἀλλὰ καὶ περὶ θεούς. Πρὸς δὲ οἱ νέοι ἐν μετρίᾳ[7] διαίτῃ διῆγον.

Μέχρι μὲν ἑπτακαίδεκα ἐτῶν οὕτω ἐπαίδευον τοὺς νέους. Ἐκ δὲ τούτου οἱ χρηστοὶ νέοι συνῆσαν[8] τοῖς ἐφήβοις, οἱ δὲ τῶν ἐφήβων φρόνιμοι καὶ ἀνδρεῖοι τοῖς τελείοις πολίταις συνῆσαν καὶ μετελάμβανον[9] ἀρχῶν καὶ τιμῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7. Κύων καὶ πρόβατον.

Ὅτε τὰ ζῷα φωνὴν εἶχε, τὰ πρόβατα ἔλεγε τῷ δεσπότῃ· « Ἡμεῖς, ὦ δέσποτα, ἔριά σοι παρέχομεν καὶ τυρόν, τοῖς δ' ἀμνοῖς ἡμῶν τρέφομεν τὰ τέκνα. Σὺ δ' οὐδὲν παρέχεις ἡμῖν, εἰ[1] μὴ ἡμεῖς ἐκ τῆς γῆς λαμβάνομεν· ὁ δὲ κύων, καίτοι[2] οὐδὲν παρέχει σοι, ἐκ τοῦ σίτου καθ' ἡμέραν λαμβάνει ».

Ὁ δὲ κύων ἔλεγεν· « Ὦ ἀνόητον πρόβατον, ἡ γλῶσσά σου προτρέχει τῆς διανοίας. Ἐγώ εἰμι χρησιμώτερος ὑμῶν· ἔργον μὲν γὰρ ὑμῶν ἐστι παρέχειν τὰ ἀγαθὰ τῷ δεσπότῃ, ἄλλον δὲ πόνον ὑμεῖς οὐκ ἔχετε. Εἰ δ' ἐγὼ μὴ ἐφύλαττον ὑμᾶς, ἐκινδυνεύετε ἂν[3] πάσχειν κακὰ ὑπὸ τῶν ἐχθρῶν. Ἐμοὶ δ' ἀνάγκη ἀεὶ φυλάττειν καὶ σῴζειν ὑμᾶς ἐκ τῶν κινδύνων ».

8. Ἡ Αἴγυπτος.

Α'. Ἡ Αἴγυπτος στενή ἐστι καὶ ἀπ' Ἐλεφαντίνης[1] τῆς νήσου μέχρι τῆς θαλάττης τείνει. Ἡ δὲ χώρα αὕτη ξηρά ἐστιν· ὄμβροι μὲν γὰρ διὰ πολλῶν ἐνιαυτῶν[2] οὐ γίγνονται ἐν αὐτῇ, δρόσος δ' ὀλίγη. Διὰ μέσης δὲ τῆς Αἰγύπτου ὁ Νεῖλος ποταμὸς φέρεται[3] καὶ τὴν χώραν κατ' ἐνιαυτὸν κατακλύζει. Τότε καὶ αἱ ὁδοὶ κατέχονται[4] τῷ ποταμῷ καὶ οὐκ ἔστιν ἄνευ πλοίων πορεύεσθαι. Οἱ παλαιοὶ ὀρθῶς τὴν Αἴγυπτον μάλιστα δὲ τὸ Δέλτα, δῶρον τοῦ Νείλου λέγουσι. Φέρει[5] δ' ἡ Αἴγυπτος κριθὴν ἄφθονον καὶ τυρὸν καὶ τὰ ἄλλα σῖτα, ἄμπελοι δ' ἐν αὐτῇ οὐ γίγνονται. Ὁ γὰρ οἶνος ὁ τῶν Αἰγυπτίων, ὡς παρ' Ἡροδότου διδασκόμεθα, οὐκ ἐκ τῆς ἀμπέλου ἦν, ἀλλ' ἐκ κριθῆς. Ἐν δὲ τῷ Νείλῳ βύβλος[6] φύεται ἄφθονος, πολλοῦ ἀξία τοῖς Αἰγυπτίοις· βύβλινα μὲν γὰρ ἦν τὰ ἱστία, βύβλινα δὲ καὶ τὰ βιβλία αὐτῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Β' Ὁ Νεῖλος[1] τὸ πάλαι Αἴγυπτος ὠνομάζετο καὶ ἥρως τῶν Αἰγυπτίων ἦν. Ὡς δ' οἱ ἄλλοι ἥρωες, οὕτω καὶ ὁ Νεῖλος ὑπὸ τῶν κατοίκων ἐθεραπεύετο καὶ θεὸς ὑπ' αὐτῶν προσηγορεύετο. Τῷ ἥρωι τούτῳ καὶ τοῖς ἄλλοις ἥρωσι ναοὶ ἦσαν.

Ὁ Νεῖλος πληθύει[2] ἰλύος καὶ ἰχθύων, ὑπὸ δὲ τὴν ἰλὺν οἱ ἰχθύες τὰ ᾠὰ τίκτουσιν. Ὅτε πλήμμυρα γίγνεται, τῇ ἰλύι τοῦ Νείλου οἱ ἀγροὶ πιαίνονται[3] καὶ εὔφορα τὰ περὶ αὐτὸν πε-

δία γίγνεται· ὑπὸ γὰρ τῆς ἰλύος αἱ τῶν καρπῶν ρίζαι ἰσχὺν καὶ τροφὴν λαμβάνουσι.

Πᾶσα δ' ἡ χώρα ψιλὴ[4] δρυῶν καὶ πιτύων καὶ ἄλλων δένδρων ἐστί. Μόνον δ' ἀπὸ Θηβῶν[5] ὀγδοήκοντα σταδίους[6] ἐπιτυγχάνει[7] τις κλιτύσι καὶ ὀρειναῖς ὀφρύσι· κατὰ τὰς κλιτῦς δὲ ταύτας ἄμπελοι φύονται καὶ βότρυες γίγνονται, ἐκ δὲ τῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βοτρύων οἶνος ἐξαίρετος. Κίνδυνος δ' ὅμως τοῖς βότρυσι καὶ στάχυσίν εἰσιν οἱ μύες· ἀφθόνους γὰρ ἡ χώρα τρέφει μῦς, οἳ[8] τοὺς στάχυς καὶ βότρυς φθείρουσι.

9. Ξυλευόμενος

Γεωργὸς καθ' ἡμέραν ἔξω τοῦ ἄστεως παρὰ τὸν ποταμὸν ἐπορεύετο. Ἐνταῦθα ὁτὲ μὲν ἰχθῦς καὶ ἐγχέλεις[1] ἡλίευεν, ὁτὲ δὲ τῷ πελέκει ἐξυλεύετο· μετὰ δὲ τὴν δύσιν τοῦ ἡλίου εἰς τὴν πόλιν ἐπὶ τοῦ ἵππου τὰ ξύλα ἔφερεν. Ἐκφεύγει δ' ὅμως ποτὲ ὁ πέλεκυς καὶ εἰς τὸν ποταμὸν πίπτει.

Ἐκαθέζετο οὖν περίλυπος παρὰ τὴν ὄχθην καὶ ἐπὶ τῇ ἀπωλείᾳ τοῦ πελέκεως ὠδύρετο.

Ὁ δὲ θεὸς ἀναδύεται ἐκ τοῦ ποταμοῦ, τὴν αἰτίαν τῆς θλίψεως μανθάνει καὶ οἰκτίρει[2] αὐτόν. Εὐθὺς τοίνυν εἰς τὸν ποταμὸν καταδύεται[3] καὶ μετ' οὐ πολὺ ἀναφέρει δύο πελέκεις, τὸν μὲν δύο πήχεων ἐκ χρυσοῦ, τὸν δ' ἕτερον τοῦ γεωργοῦ. Οὗτος δ' ὅμως φύσεως ἦν ἀγαθῆς καὶ λαμβάνει τὸν οἰκεῖον[4]. Ὁ θεὸς ἥδεται[5] ἐπὶ τῇ συνέσει καὶ φρονήσει τοῦ γεωργοῦ καὶ παρέχει αὐτῷ ἀμφοτέρους τοὺς πελέκεις.

Ὁ γεωργὸς μετὰ τοῦτο φέρων τοὺς πελέκεις πρὸς τοὺς ἑταίρους ἔρχεται καὶ τὴν κτῆσιν τῶν πελέκεων λέγει αὐτοῖς. Τούτων εἷς νομίζει ῥᾳδίαν[6] τὴν κτῆσιν ἀγαθῶν καὶ πρὸς τὸν ποταμὸν ἔρχεται, εἰς ὃν[7] ἐξεπίτηδες τὸν πέλεκυν ῥίπτει· μετὰ δὲ τὴν πρᾶξιν παρὰ τὸν ποταμὸν ἔμενε καὶ ὁμοίως τῷ πρώτῳ ὠδύρετο. Ἐπιφαίνεται δ' αὖθις ὁ θεὸς καὶ μετὰ δύο καταδύσεις ἐκφέρει ὁμοίως δύο πελέκεις. Ὁ δὲ ξυλοκόπος, ὡς τὸν ἐκ χρυσοῦ ὁρᾷ[8], « οὗτός ἐστιν ἀληθῶς ὁ πέλεκυς » λέγει. Ὁ θεὸς δ' ὅμως ἐπὶ τῇ ὕβρει αὐτοῦ ὀργίζεται καὶ κατέχει ἀμφοτέρους τοὺς πελέκεις, τῷ δὲ ξυλοκόπῳ λέγει· « τῶν κακῶν πράξεων ἀμοιβή ἐστι καὶ τῶν οἰκείων ἀγαθῶν ἡ ἀπώλεια ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

10. Ἡ Περσία.

Ἡ Περσία πεδινὴ καὶ παμφόρος χώρα ἐστί. Πληθύει δὲ ποταμῶν καὶ λιμνῶν, ἔνθα οἱ ἁλιεῖς ἰχθῦς ἁλιεύουσιν. Ἐν τοῖς πεδίοις οἱ μὲν γεωργοὶ τοῖς βουσὶ τοὺς ἀγροὺς ἀροῦσιν[1], οἱ δὲ νομεῖς ἀγέλας βοῶν καὶ ἵππων νέμουσι, πολλαχοῦ δὲ καὶ γρᾶες βουκόλοι εἰσί.

Οἱ βασιλεῖς τῆς Περσίας μεθ' ἱππέων εἰς τὰς σατραπείας ἤλαυνον[2], οἱ δ' ἱερεῖς τοῦ ἄστεως συμπρούπεμπον[3] τοὺς βασιλέας καὶ βοῦς τοῖς θεοῖς ἔθυον· οἱ δ' ἐν αὐταῖς κάτοικοι ὑπεδέχοντο τοὺς βασιλέας καὶ προσεκόμιζον αὐτοῖς δῶρα, βοῦς καὶ ἵππους χρυσοχαλίνους. Καὶ οἱ πτωχοὶ δὲ τῶν ὑπηκόων, χαλκεῖς[4], σκυτεῖς[5] καὶ βουκόλοι, προσέφερον ὅπλα, τυρὸν καὶ τρωκτά[6]. Ὁ δὲ βασιλεύς, ὅτε εἰς τὴν πόλιν ἐπανῆγεν[7], δῶρα ὁμοίως διὰ πρέσβεων ἔπεμπε τοῖς σατράπαις καὶ τοῖς σπουδαίοις τῶν κατοίκων.

11. Ἀλώπηξ καὶ κόραξ

Κόραξ ποτὲ ἁρπάζει μοῖραν[1] τυροῦ καὶ εἰς κοίλην φάραγγα καταφεύγει. Ἐνταῦθα ἐπὶ δένδρου ἐκαθέζετο. Ἐν τῇ φάραγγι γῦπες καὶ ἱέρακες καὶ ἱκανὸς ἀριθμὸς κωνώπων, τεττίγων καὶ ἄλλων ὀρνέων[2] διέμενεν. Ἀλώπηξ δὲ παρὰ τὸ σπήλαιον τῆς φάραγγος ἀνεπαύετο. Ὡς δὲ τὸν κόρακα αἰσθάνεται[3], σπεύδει ὑπὸ τὸ δένδρον καὶ λέγει αὐτῷ· « Ἀληθῶς ὡς καλὸς εἶ, ὡς καλοὺς ὄνυχας καὶ πτέρυγας ἔχεις· εἰ[4] καὶ φωνὴν εἶχες, βασιλεὺς ἂν τῶν ὀρνέων ἦσθα[5] ». Ταῦτα δ' ἔλεγε πρὸς ἀπάτην.

Ὁ κόραξ δ' ὅμως τὴν τῆς ἀλώπεκος πονηρίαν οὐκ αἰσθάνεται καὶ εὐθὺς ἐκβάλλει τὸν τυρὸν καὶ ἀνακράζει. Ἡ δὲ τοῦτον λαμβάνει καὶ λέγει· « Ὦ κόραξ, ἀληθῶς φωνὴ μὲν ἦν σοι, νοῦν δ' οὐκ εἶχες ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

12. Οἱ γάμοι Πηλέως καὶ Θέτιδος.

Πηλεὺς[1] καὶ Θέτις[2] ἐν τοῖς γάμοις ἀγαθὰς[3] περὶ τῆς εὐτυχίας ἐλπίδας εἶχον. Διὸ ἐν τῷ δώματι[4] κόσμον λαμπρὸν κατεσκεύαζον καὶ τοὺς τῆς Φθίας κατοίκους ὡς καὶ τοὺς θεοὺς ἐδέχοντο πλὴν τῆς Ἔριδος.

Προσέρχονται οὖν οἱ μὲν θεοὶ σὺν θώραξι καὶ ἀσπίσι καὶ ἄλλοις ὅπλοις λαμπροῖς εἰς τὸ δῶμα, οἱ δὲ κάτοικοι μετὰ τῶν παίδων εἰς τὴν αὐλὴν τῶν βασιλείων μένουσιν. Ἡ θεὰ δ' ὅμως Ἔρις ὀργίζεται καὶ ἐν μέσῳ τῷ δώματι μῆλον ῥίπτει. Ἐπιγραφὴ δ' ἐπ' αὐτοῦ ἦν « τῇ καλλίστῃ[5] ».

Ἐν ταῖς θεαῖς ἦσαν ἡ Ἥρα[6], ἡ Ἀθηνᾶ[7] καὶ ἡ Ἀφροδίτη[8]. Τούτων ἡ μὲν Ἥρα τῇ σεμνότητι τῶν ἄλλων διέφερεν, ἡ Ἀθηνᾶ τῇ τῶν γραμμάτων σοφίᾳ καὶ τῇ ὁπλίσει ὑπερεῖχεν, ἡ δ' Ἀφροδίτη τῇ τῆς ἐσθῆτος πολυτελείᾳ καὶ τῇ τοῦ σώματος χάριτι τὰς ἄλλας ὑπερέβαλλεν.

Αὗται οὖν περὶ τοῦ μήλου ἤριζον καὶ τὴν τῆς ἑορτῆς φαιδρότητα διέλυον. Τέλος Πάριδι τῷ τοῦ Πριάμου ἐπιτρέπουσι τὴν κρίσιν καὶ λέγουσιν· « Ὦ Πάρι, ἐπιτρέπομέν[9] σοι τὴν κρίσιν περὶ τῆς καλλίστης ». Οὗτος δὲ θαυμάζει μὲν τῆς Ἥρας τὸ σχῆμα[10] καὶ τῆς Ἀθηνᾶς τὴν ἀσπίδα καὶ κόρυν[11], προσφέρει δὲ τὸ μῆλον τῇ Ἀφροδίτῃ.

13. Υἱὸς καὶ λέων γεγραμμένος[1].

Γέρων δειλὸς ὁρᾷ καθ' ὕπνους ὅτι ὁ υἱὸς ὑπὸ λέοντος κατησθίετο[2]. Εὐθὺς δ' ἐκ τοῦ φόβου οἴκημα καλὸν καὶ μετέωρον[3] κατασκευάζει καὶ ἐνταῦθα μετὰ θεραπόντων τὸν υἱὸν ἐγκλείει. Κοσμεῖ[4] δ' ἔνδον τὸ οἴκημα ἀνδριᾶσι καὶ ἄλλῳ κόσμῳ, ἐπὶ δὲ τοῦ τοίχου γράφει πρὸς τέρψιν τοῦ υἱοῦ γίγαντας, λέοντας καὶ παντοῖα ζῷα· οὕτω γὰρ οἱ λέοντες καὶ ἐλέφαντες ἀκίνδυνοι ἦσαν τῷ υἱῷ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ δὲ παῖς πλησιάζει μὲν τοῖς λέουσι καὶ ἐλέφασι, περίλυπος δ' ἦν, ὅτι κατάκλειστος ἦν. Καὶ δήποτε λέγει τῷ ἐλέφαντι· « Ὦ ἐλέφαν, ὡς καλὸς εἶ καὶ καλοὺς ὀδόντας ἔχεις ». Ἐφεξῆς δὲ πλησιάζει τῷ λέοντι καὶ λέγει αὐτῷ. « Ὦ κακὲ λέον, δικαίως οἱ θηρευταὶ ἡμᾶσι δεσμεύουσί σε· τοῖς γὰρ ὀδοῦσι δάκνεις καὶ τὰ θηράματα φονεύεις. Καὶ ἐγὼ δὲ διὰ σὲ κατάκλειστός εἰμι, ὡς ἐν φρουρᾷ[5] ». Καὶ εὐθὺς ἐπιβάλλει τῷ τοίχῳ τὸν δάκτυλον καὶ ἐκτυφλώττει τὸν λέοντα.

Σκόλοψ δ' ὅμως τῷ δακτύλῳ ἐμπήγνυται[6] καὶ ὄγκωμα καὶ φλεγμονὴν ἐπιφέρει αὐτῷ. Ἐξ αὐτοῦ δ' ἐπιγίγνεται[7] πυρετὸς τῷ παιδὶ καὶ μετ' οὐ πολὺ ἀποθνῄσκει. Οὕτω ὁ υἱὸς τοῦ γέροντος τὸ πεπρωμένον[8] οὐκ ἀποφεύγει.

14. Ἴβυκος καὶ γέρανοι.

Ἴβυκος ὁ ποιητὴς μετ' ἄλλων ἑταίρων εἰς Ἰταλίαν ἦκεν[1]. Ἐνταῦθα ἱκανὸν χρόνον διέτριψαν, χρήματα δ' ἱκανὰ συνέλεξαν.

Μετ' οὐ πολὺ Ἴβυκος τοὺς ἑταίρους πάλιν ἤθροισε καὶ λέγει αὐτοῖς. « Ἐγώ, ὦ ἑταῖροι, ἱκανοὺς νέους ἐπαίδευσα, ὑμεῖς δ' ἱκανὸν ἀργύριον συνελέξατε καὶ πρὸς τοὺς γονέας ἐπέμψατε. Νῦν ἐγὼ οἴκαδε[2] ἥξω[3] ». Οἱ δὲ ἑταῖροι τούτῳ λέγουσιν· « Ἡμεῖς διατρίψομεν μικρὸν ἔτι ἐν Ἰταλίᾳ ».

Ἐπεὶ δ' οὖν Ἴβυκος τούτους οὐκ ἔπεισε, μόνος εἰς τὴν Ἑλλάδα ἐπανῆγεν. Ὅτε δ' ἦν ἐν τῷ μεταξὺ τῆς θαλάττης καὶ τῆς Κορίνθου χωρίῳ, λῃσταὶ αὐτὸν ἐφόνευσαν καὶ τὸ ἀργύριον ἥρπασαν. Ὅτε δ' οὗτος ἀπέθνῃσκε, τοὺς γεράνους, οἳ εἰς τὸν οὐρανὸν ἐπέτοντο, ἱκέτευσεν ὧδε· « Ὦ γέρανοι, ὑμεῖς καταμηνύσετε καὶ κολάσετε τοὺς λῃστάς ». Μετ' οὐ πολὺ οἱ Κορίνθιοι τὸν μὲν νεκρὸν ἀπεκάλυψαν καὶ ἔθαψαν, τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λῃστὰς δ' οὔ. Ὀλίγῳ μέντοι χρόνῳ ὕστερον οὕτω τοὺς λῃστὰς ἀπεκάλυψαν.

Ἐν θεάτρῳ μετὰ τῶν Κορινθίων καὶ οἱ λῃσταὶ τοῦ Ἰβύκου παρῆσαν, ὑπὲρ δ' αὐτῶν γέρανοι ἐπέτοντο. Τότε τῶν λῃ-

στῶν ὁ ἕτερος[4] λέγει· « ὦ ἑταῖρε, ἰδοὺ οἱ γέρανοι τοῦ Ἰβύκου ». Θεατὴς δέ, ὡς ἤκουσε, λέγει τῷ ἄλλῳ· « Οὐκ ἤκουσας, τί οὗτοι λέγουσι ; » Καὶ εὐθὺς τὸ πρᾶγμα τοῖς ἄρχουσιν ἐμήνυσαν. Οἱ δὲ λῃσταὶ ὑπ' ἀνάγκης τὴν πρᾶξιν φαίνουσι καὶ θανάτῳ κολάζονται.

15. Τρόπαιον Νίκης.

Ἄγωμεν, ὦ νέοι, εἰς τὴν ἐπὶ τοῦ ποταμοῦ γέφυραν. Ἐνταῦθα, ὅταν ἀναβλέψωμεν[1] εἰς τὸ ὑπὲρ τοῦ ποταμοῦ ἄκρον, χαίρομεν ἐπὶ τῇ τοῦ πολέμου τελευτῇ· τρόπαιον γὰρ ἐν τῇ κορυφῇ ἐστι, στήλη λιθίνη καὶ Νίκη, ἵνα τοῖς ἐκγόνοις[2] μνή-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μην παρέχῃ τῆς τῶν προγόνων ἀρετῆς. Καὶ ἐν μὲν τῇ στήλῃ ἐπιγραφή ἐστιν, ἵνα τὰς τοῦ πολέμου μάχας ὑπομιμνήσκῃ, ἡ δὲ Νίκη στέφανον ἔχει ἐπὶ τῇ κεφαλῇ. Δρέψωμεν καὶ ἡμεῖς ἐκ τῶν ἀγρῶν ἄνθη, ἵνα στέφανον κατασκευάσωμεν καὶ τοῦτον τῇ Νίκῃ προσκομίσωμεν. Καὶ οἱ μὲν κοινωνοὶ τοῦ πολέμου, ὅταν βλέπωσιν εἰς τὸ τρόπαιον, τῶν κοινῶν κινδύνων καὶ πόνων ἀναμιμνήσκονται[3], οἱ δ' ἄλλοι τὰς ἐκείνων νίκας θαυμάζουσιν, ἵνα καλὴν τῆς ἀρετῆς[4] σπουδὴν λαμβάνωσιν. Ὑμεῖς δ', ὦ νέοι, ἔστε ὑπόδ ιγμα ἀρετῆς, ἵνα ἀξίως τῆς πόλεως ἔργα πράξητε καὶ τὴν τῆς πατρίδος δόξαν ἀμείωτον φυλάξητε ».

16. Ἀλέξανδρος καὶ ὁ διδάσκαλος.

Ἀλέξανδρος ὁ Φιλίππου ἐμάνθανε θηρεύειν, τοξεύειν, κιθαρίζειν καὶ γράφειν[1]· ὁ γὰρ Φίλιππος ἐβούλετο[2] αὐτὸν παιδεῦσαι, ὥστε τέλειον[3] εἶναι. Καθ' ἑκάστην οὖν προέκοπτεν ἐπὶ τὸ θηρεύειν καὶ τοξεύειν, περὶ δὲ τὸ κιθαρίζειν καὶ γράφειν οὐκ εἶχε σπουδήν[4].

Λέγεται δήποτε τὸν διδάσκαλον κελεῦσαι αὐτὸν κροῦσαι χορδήν τινα ἀντ' ἄλλης. Ἀλέξανδρος δ' ὅμως λέγει τῷ διδασκάλῳ· « Καὶ τί διαφέρει, ἂν ταύτην ἀντ' ἐκείνης κρούσω ; » Ὁ δ' ἀποκρίνεται ὅτι τῷ μέλλοντι[5] βασιλεύσειν οὐδὲν διαφέρει[6], ἀλλὰ τῷ βουλομένῳ[7] θεραπεῦσαι τὰς τέχνας· οὕτω γὰρ ἤλπιζεν αὐτὸν μαλακοῖς λόγοις παιδεύσειν.

17. Ὁ χειμών.

Χειμῶνος, ὅταν πολλὴ χιὼν τοὺς ἀγροὺς κατέχῃ[1], οἵ τε γεωργοὶ ἡσυχίαν ἄγουσι[2] καὶ οἱ ποιμένες. Οὔτε γὰρ τοὺς ἀγροὺς ἔστιν ἐργάζεσθαι διὰ τὴν χιόνα, οὔτε νέμειν τὰ πρόβατα, ὅτι χόρτος οὐκ ἔστιν ἐν τοῖς λειμῶσιν[3]. Οἱ δὲ ναῦται τὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πλοῖα εἰς τοὺς λιμένας κατάγουσι[4] καὶ ἐνταῦθα μένουσιν εἰς τὸ ἔαρ· ἄπορος γὰρ ἡ θάλαττα καὶ διὰ τὸν κρύσταλλον καὶ διὰ τοὺς χειμῶνας. Ἐν δὲ ταῖς οἰκίαις οἱ ἄνθρωποι ξύλα καίουσιν· ὅταν δ' ἀναγκάζωνται ἔξω τοῦ οἴκου εἶναι, πυκνοὺς χιτῶνας καὶ χλαίνας ἐνδύονται, τὰς δὲ κεφαλὰς διφθέραις[5] ἐγκαλύπτουσι. Πολλάκις δ' αἱ κατ' ἀγρὸν ὁδοὶ τῇ χιόνι οὕτω δύσποροι[6] γίγνονται, ὥστε τοὺς γεωργοὺς πολλὰς ἡμέρας καὶ δὴ καὶ μῆνας τῶν γειτόνων ἀποκλείεσθαι. Τὰ δὲ θηρία τῷ λιμῷ ἀναγκάζονται τοῖς τῶν γεωργῶν σταθμοῖς πλησιάζειν καὶ ἁρπάζειν χῆνας καὶ ἄλλα ζῷα.

18. Ἀστρολόγος.

Ὁ οὐρανὸς ἐν αἰθρίᾳ[1] γέμει ἀστέρων. Τούτων οἱ μὲν θηρσὶν ὅμοιοί εἰσιν, οἱ δ' ἰχθύσιν. Οἱ ἀρχαῖοι ᾤοντο τοὺς ἀστέρας καὶ τοὺς ἀνέμους θεοὺς εἶναι καὶ ἐν τῷ αἰθέρι διατρίβειν, ἔνθα ἀμβροσίαν[2] ἤσθιον καὶ νέκταρ[3] ἔπινον, ὥσπερ οἱ Ὀλύμπιοι θεοί. Διὸ ναοὺς τοῖς ἀστράσι κατεσκεύαζον καὶ ὡς σωτῆρας αὐτοὺς ἐν ταῖς δυστυχίαις ἐθεράπευον. Ὅσοι δὲ τὰ ἐν τῷ οὐρανῷ ἐξήταζον ἀστρολόγοι ὠνομάζοντο.

Τούτων τίς ποτε εἴθιζεν[4] ἑκάστοτε τοὺς ἀστέρας ἐξετάζειν. Περιῆγεν[5] οὖν τῆς νυκτὸς χειμῶνός τε καὶ ἔαρος κατὰ τὸ προάστειον καὶ τοὺς ἀστέρας ἔγραφεν ἐν πινακίῳ.

Εἶτα δ' εἰς τὴν ἀγορὰν ἔρχεται καὶ ἔχων ἐν χερσὶ τὸ πινάκιον ἐπεδείκνυε τοῦτο τοῖς φιλοσόφοις, τοῖς ῥήτορσι καὶ τοῖς ἄλλοις σοφοῖς. Ἔλεγε δ' αὐτοῖς ὅτι τῶν ἀστέρων οἱ μὲν πλανώμενοί[6] εἰσιν, οἱ δ' οὔ. Τῶν δὲ κλητήρων τῆς ἀγορᾶς τις ὑπολαμβάνει[7] καὶ λέγει· « Ὦ ἑταῖρε, μάρτυρας τοὺς θεοὺς ἔχω ὅτι σὺ ψεύδῃ· πλανώμενοι[8] γὰρ οὐκ εἰσιν οἱ ἐν τῷ ἀέρι ἀστέρες, ἀλλ' οὗτοι οἱ ἄνθρωποι », καὶ δεικνύει τοὺς ἐν τῇ ἀγορᾷ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

19. Μήτηρ καὶ θυγατέρες.

Γυνή τις εἶχε δύο θυγατέρας ὀρφανὰς πατρός· ταύτας συνάπτει[1] ἀνδράσι, τὴν μὲν κηπουρῷ, τὴν δ' ἀνδρὶ κεραμεῖ. Μετ' οὐ πολὺ πρὸς τὴν τοῦ κηπουροῦ ἔρχεται καὶ παρ' αὐτῆς πυνθάνεται, πῶς μετὰ τοῦ ἀνδρὸς διάγει· ἡ δὲ λέγει· « Ἱκανὰ μὲν τἀγαθὰ ἐμοὶ πάρεστι[2] καὶ ὁ ἀνὴρ ἀγαθός ἐστιν· Εὔχομαι δ' ὅμως τοῖς θεοῖς, ὅπως ὄμβρῳ τὴν γῆν ἀρδεύωσιν[3]· οὕτω γὰρ καὶ τῇ τῆς Δήμητρος[4] βοηθείᾳ τοῖς λαχάνοις αὔξησις προσγίγνεται ».

Ἐκεῖθεν ἡ μήτηρ πρὸς τὴν θυγατέρα, τὴν τοῦ κεραμέως σύζυγον, ἔρχεται καὶ τὰ αὐτὰ πυνθάνεται· ἡ δ' ἀποκρίνεται· « Τὰ μὲν ἄλλα, ὦ μῆτερ, καλῶς ἔχω. Εὔχομαι δ' ὅμως τοῖς θεοῖς, ἵνα ὦσιν ἡμέραι ξηραί, ὅπως ἡ κέραμος ξηρὰ ᾖ ».

Ἡ δὲ μήτηρ περίλυπος ἀπέρχεται καὶ λέγει· « Ὦ Δήμητερ καὶ οἱ ἄλλοι θεοί, ἀληθῶς οὐκ οἶδα[5], ποτέρᾳ[5] τῶν θυγατέρων τὴν ἀρωγὴν ὑμῶν αἰτήσω[7] ».

20. Γέρων ξυλοκόπος.

Γέροντα ξυλοκόπον τὸ γῆρας κατέτρυχε[1]· τῷ γὰρ γήρᾳ πρόσεστι[2] πολλὰ τὰ δεινά[3]. Ἐπειδὴ δὲ τοῦτον οὐδεὶς ἐθεράπευεν, ἵνα τὰ ἐπιτήδεια[4] ἔχῃ, καθ' ἑκάστην ξύλα ἐκ τοῦ δρυμῶνος ἔκοπτε καὶ εἰς τὸ ἄστυ ταῦτα ἐπὶ τῶν ὤμων ἐκόμιζε. Πέρας[5] δ' ὅμως τῶν δεινῶν οὕτως οὐκ ἦν καὶ διῆγε τὸν βίον μετὰ πόνου· τῷ γὰρ γήρᾳ καὶ τῇ λιτῇ διαίτῃ ἀσθενὴς ἦν καὶ σπανίως μετελάμβανε[6] κρεῶν· ἔστι δ' ὅτε[7] μόνον μικρὰ τεμάχια ἄρτου καὶ κρεῶν παρὰ τῶν κατοίκων ἐλάμβανεν ὡς γέρα[8] τοῦ γήρως, ἀλλὰ καὶ ταῦτα οὐχ ἱκανὰ ἦν λῦσαι αὐτὸν τῶν πόνων καὶ τοῦ γήρως.

Καί ποτε διὰ τὸν πόνον τῆς ὁδοῦ τὸ φορτίον ἀπορρί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πτει κατὰ γῆς καὶ ἱκετεύει τὸν θάνατον πέρας τῶν δεινῶν παρέχειν αὐτῷ. Αἴφνης ὁ θάνατος ἐπιφαίνεται καὶ πυνθάνεται παρὰ τοῦ γέροντος, διατὶ αὐτὸν ἐπικαλεῖται[9]. Ὁ δὲ γέρων ἀποκρίνεται· « ἵνα τὸ φορτίον ἄρῃς[10] ».

21. Τὰ Τέμπη.

Τὰ Τέμπη[1] τὰ Θεσσαλικὰ χῶρός ἐστι μεταξὺ τοῦ Ὀλύμπου καὶ τῆς Ὄσσης. Ὄρη δὲ ταῦτα ὑπερύψηλά ἐστι καὶ σχίζεται, οἷον[2] ὑπὸ θείας φροντίδος. Χωρίον[3] οὕτω γίγνεται τὸ μὲν μῆκος ἐπὶ τεσσαράκοντα σταδίους, τὸ δὲ πλάτος σχεδὸν πλέθρου[4].

Ἐν τούτῳ ἄλση ἐστὶ καὶ δάση σκιερὰ καὶ πλῆθος ἀνθέων. Ὄρνιθες δ' ἡδέως[5] ᾄδουσι καὶ τῷ μέλει[6] τὸν κάματον τῶν ὁδοιπόρων ἀφανίζουσι. Διὰ μέσου δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ῥεῖ, εἰς ὃν[7] χείμαρροι καὶ ῥύακες ἐμβάλλουσι. Τούτου αἱ πηγαὶ ἐν τοῖς ὄρεσίν εἰσιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἔχει δ' οὕτω διατριβὰς ποικίλας ὁ τόπος οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως· ἐν δὲ τῷ ὄρει Ὀλύμπῳ, ὃς ὑπέρκειται[8] τῶν Τεμπῶν, οἱ δώδεκα Ὀλύμπιοι θεοὶ τὸ πάλαι τὰς κατοικίας εἶχον καὶ ἥδοντο[9] ἐπὶ τῇ θέᾳ τῶν Τεμπῶν καὶ τῷ μέλει τῶν ὀρνίθων.

22. Ἀθηναῖοι ἄνδρες.

Αἱ Ἀθῆναι πατρὶς ἀνδρῶν σοφῶν, ποιητῶν, ῥητόρων καὶ στρατηγῶν ἦν. Ἐν[1] τοῖς σοφοῖς καταλέγουσι[2] Σωκράτη καὶ Πλάτωνα, ἐν τοῖς ποιηταῖς Σοφοκλέα καὶ Εὐριπίδην, ἐν τοῖς ῥήτορσι Δημοσθένη καὶ Αἰσχίνην, ἐν δὲ τοῖς στρατηγοῖς Περικλέα καὶ Θεμιστοκλέα.

Τῷ Σωκράτει οἱ νέοι συνῆσαν[3] καὶ φιλοσοφίαν ἐδιδάσκοντο, τοῦ δὲ Σοφοκλέους καὶ Εὐριπίδου τὰ ἔργα ἔτερπεν ἐν τῷ θεάτρῳ τοὺς θεατάς. Τῷ Δημοσθένει καὶ Αἰσχίνῃ ὁ δῆμος ἐν τῇ ἐκκλησίᾳ προσεῖχε καὶ αὐτῶν ἀσμένως[4] ἤκουε· Περικλέους ἡ ἀρχὴ « χρυσοῦς αἰὼν » τῶν Ἀθηνῶν ὠνομάζετο. Θεμιστοκλέα δέ, ὅτι αἴτιος τῆς ἐν Σαλαμῖνι ἥττης τῶν βαρβάρων ἦν, οἱ Ἕλληνες ἐν τιμῇ εἶχον.

23. Λητὼ καὶ Νιόβη.

Λητοῦς[1] δύο παῖδες γίγνονται, Ἀπόλλων καὶ Ἄρτεμις. Νιόβη[2] δ' ἐν Θήβαις ἑπτὰ μὲν υἱούς, ἑπτὰ δὲ θυγατέρας τίκτει. Ἐπαίρεται[3] οὖν ἐπὶ εὐτεκνίᾳ Νιόβη καὶ λέγει· « Ἐγὼ Λητὼ ὑπερβάλλω· ἐμοὶ μὲν γὰρ τέτταρες καὶ δέκα παῖδές εἰσι, Λητοῖ δὲ μόνον δύο ». Μάτην αἱ ἄλλαι γυναῖκες τῇ τῶν λόγων πειθοῖ συμβουλεύουσι τῇ Νιόβῃ σέβειν[4] Λητώ, ἀλλ' οὐδὲν ἤνυον[5].

Λητὼ δ' ἐπεὶ ταῦτα μανθάνει, ὀργίζεται τῇ Νιόβῃ, ὅτι οὐκ ἔχει αἰδῶ[6] πρὸς τοὺς θεοὺς καὶ τούτοις διαγωνίζεται. Διὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παροξύνει τὸν Ἀπόλλωνα καὶ Ἄρτεμιν κατὰ τῶν παίδων τῆς Νιόβης· καὶ τοὺς μὲν παῖδας Ἀπόλλων κατετόξευσε, τὰς δὲ θυγατέρας Ἄρτεμις.

Νιόβη δὲ περίλυπος ἀπολείπει Θήβας καὶ πρὸς τὸν πατέ-

ρα εἰς Σίπυλον τῆς Ἀσίας ἔρχεται. Ἐνταῦθα εὔχεται τῷ Διὶ καὶ εἰς λίθον ὑπ' αὐτοῦ μεταβάλλεται. Ἐκ τούτου δὲ χεῖται[7] δάκρυα ἐκ τοῦ λίθου νυκτός τε καὶ ἡμέρας.

24. Διογένης[1] καὶ Κορίνθιοι.

Ὅτε Φίλιππος ἐπεβούλευε τοῖς Κορινθίοις καὶ παρεσκευάζετο ἐπελαύνειν[2] τῇ πόλει αὐτῶν, οἱ ἄρχοντες παρεκελεύοντο[3] τοῖς πολίταις τὸ τεῖχος ἐπισκευάζειν. Οἱ δὲ ἐμιμνήσκοντο[4] μὲν τῆς παλαιᾶς δόξης, ὅτι πρώτη τῶν Ἑλληνίδων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πόλεων ἦν, μετελάμβανον δὲ τοῦ ἔργου· καὶ ὁ μὲν προσέφερε τοῖς τειχοποιοῖς λίθους, ὁ δ' ὑπεστήριζε τὴν ἔπαλξιν, οὐδεὶς δ' ἔληγε[5] τοῦ ἔργου πρὸ τῆς ἑσπέρας. Ὡμοίαζεν οὖν ἡ πόλις ἐργαστηρίῳ καὶ οἱ ἄνδρες ἐπεμέλοντο τῶν τε ὅπλων καὶ τῆς ἀμύνης.

Διογένης δ' ὁ φιλόσοφος, ἐπεὶ οὐδεὶς αὐτῷ ἔλεγε μεταλαμβάνειν τοῦ ἔργου, ἐκύλιε καὶ αὐτὸς τὸν πίθον ἐχόμενος[6] αὐτοῦ στερρῶς. Ὅτε δέ τις τῶν φίλων λέγει αὐτῷ « διατί κυλίεις, ὦ Διόγενες, τὸν πίθον ; », ἀποκρίνεται « ἵνα μὴ μόνος ἀμέτοχος τῆς ἐργασίας ὦ ».

25. Ἀγησίλαος ἐν Αὐλίδι Βοιωτίας.

Ἐπεὶ οἱ Σπαρτιᾶται ἡγεμόνες ἐν Ἑλλάδι ἐγεγόνεσαν, ἐκέλευσαν Ἀγησίλαον πορεύεσθαι εἰς Ἀσίαν ἀπαλλάξοντα[1] τῶν δεινῶν τοὺς ἐν Ἀσίᾳ Ἕλληνας. Ἀγησίλαος δὲ παρεσκευάκει θυσίαν ἐν Αὐλίδι, ἔνθαπερ λέγουσι καὶ Ἀγαμέμνονα, ὅτε ἐπὶ Τροίαν ἐστράτευε, τεθυκέναι. Ἱππεῖς δ' ὅμως τῶν Βοιωτῶν τὰ ἐπὶ τοῦ βωμοῦ ἱερὰ διερρίφεσαν καὶ τοὺς στρατιώτας τοῦ Ἀγησιλάου ἐδεδιώχεσαν.

Ἀγησίλαος δὲ τοῖς βοιωτάρχοις[2] ἐμήνυσεν· « Ἐγώ τε καὶ οἱ ἐμοὶ στρατιῶται οἰόμεθα οὐδὲν κακὸν ὑμῖν πεπραχέναι. Ὑμεῖς δ' ὅμως τὰ ἱερά τε ἐκ τοῦ βωμοῦ διερρίφατε καὶ δεδιώχατε τοὺς μέλλοντας θύσειν. Ἐπεὶ οὖν ταῦτα πεπράχατε, τοὺς θεοὺς πολεμίους ἕξετε ». Εὐθὺς δὲ μετὰ τοῦτο ᾤχετο εἰς Ἔφεσον.

26. Ἡ χώρα τῶν Ἰνδῶν.

Ἡ χώρα τῶν Ἰνδῶν ποταμοὺς εὐρεῖς καὶ βαθεῖς ἔχει. Οὗτοι τὰς πηγὰς ἐν τοῖς ὄρεσιν ἔχουσιν, ἔνθα τὸ ἔδαφος τραχύ ἐστι. Ἐνταῦθα τὸ μὲν πλάτος τρίπηχύ ἐστι, διπήχεις δὲ σχεδόν εἰσι τὸ βάθος. Προϊόντες[1] δ' εὐρεῖς γίγνονται καὶ τα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χεῖς διὰ τῆς πεδιάδος φέρονται. Γέμουσι δ' ἡδέων ἰχθύων, οὓς[2] οἱ ἁλιεῖς ἐν βραχεῖ χρόνῳ ἁλιεύουσι· τὰ ᾠὰ δὲ τῶν ἰχθύων ἡδέα ἐστί. Χειμῶνος οἱ ποταμοὶ τοῖς γλυκέσιν ὕδασι καλύπτουσι τὰ εὐρέα πεδία καὶ παχεῖαν τὴν γῆν κατασκευάζουσι· φύονται[3] δὲ ἄμπελοι εὐβότρυες[4]. Ἐκ δὲ τῶν ἐτησίων[5] βρέχεται ἡ Ἰνδικὴ θερινοῖς ὄμβροις καὶ καρπούς ἡδεῖς καὶ ἀφθόνους φέρει. Τρέφει δ' ἡ χώρα καὶ πλῆθος βοῶν καὶ προβάτων, ἃ παχείας τὰς οὐρὰς ἔχει.

27. Γέρων ἐν Ὀλυμπίᾳ.

Ἡ Ὀλυμπία τὸ πάλαι τόπος ἱερὸς ἦν. Ἅπας δ' ὁ χῶρος οὗτος ὑλήεις[1] καὶ ἄξιος θέας ἦν καὶ παντοδαπῶν ἀνθέων ἔγεμε. Ποταμοὶ δὲ δινήεντες[2] καὶ ἰχθυόεντες τοῦτον διέτεμνον. Ἐνταῦθα ἱερὸν αἰγλῆεν[3] τοῦ Διὸς ἐν τῷ ἄλσει ἦν καὶ χωρίον ὅμοιον θεάτρῳ, ὃ στάδιον ὠνομάζετο.

Ἐνταῦθα τὰ Ὀλύμπια κατὰ πᾶν τέταρτον ἔτος ἐγίγνετο. Ἐκ πασῶν τότε τῶν Ἑλληνικῶν πόλεων θεωροὶ[4] εἰς Ὀλυμπίαν ἔσπευδον. Τούτοις πᾶσι ξένια[5] ὑπὸ τῶν Ἑλλήνων παρεσκευάζετο.

Ἐνταῦθά ποτε γέρων θεωρὸς ἔρχεται καὶ ἕδραν οὐχ ηὕρισκεν· ὑπὸ πάντων δ' ὑβρίζετο[6] καὶ οὐδεὶς ἑκὼν προσέφερεν αὐτῷ ἕδραν. Ἐπεὶ δὲ πρὸς Λακεδαιμονίους ἔρχεται, πάντες οἱ ἄνδρες σπεύδουσιν εἴκειν[7] αὐτῷ καὶ προσέφερον ἕδραν. αἰσχρὸν[8] γὰρ πᾶσιν ἐδόκει[9] γέρονταις περιπαίζειν.

Ὡς δὲ τοῦτο οἱ ἄλλοι Ἕλληνες αἰσθάνονται, πάντες ἐκ τῶν ἑδρῶν ἀνεγείρονται καὶ ἐπιδοκιμάζουσι τὸ ἦθος[10] τῶν Σπαρτιατῶν. Ὁ δὲ γέρων λέγει· « Οἴμοι, πάντες μὲν οἱ Ἕλληνες γιγνώσκουσι τὰ καλά, ἑκόντες δὲ μόνοι οἱ Λακεδαιμόνιοι πράττουσι ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

28. Διογένης καὶ δοῦλος.

Ἔπηλύς[1] ποτε πένης εἰς Ἀθήνας γίγνεται καὶ δοῦλος τῷ φιλοσόφῳ Διογένει προσέρχεται. Τῷ δὲ χρόνῳ ἀποφαίνεται[2] βλὰξ καὶ ἅρπαξ ἅμα. Τοῦτον οὖν Διογένης διὰ τὸ βλᾶκα καὶ ἅρπαγα εἶναι δὶς[3] καὶ τρὶς τῆς ἡμέρας ἔδερε· τὸ γὰρ ἦθος ὅμοιος τετράποσι θηρίοις ἦν. Ὁ δὲ δοῦλος ἄπελπις[4] ἐκ τούτου ἦν καὶ κρύφα ἐκ τοῦ οἴκου φεύγει.

Διογένης δ' ὅμως τὸν φυγάδα οὐ διώκει[5]· « αἰσχρὸν γάρ », ἔλεγε, « τὸν μὲν δοῦλον ἄνευ τοῦ Διογένους ὑπομένειν διάγειν, Διογένη δ' ἄνευ τοῦ δούλου οὔ ».

29. Ἑρμῆς.

Ἑρμῆς ἐν σπαργάνοις ἔτι ὢν εἰς Πιερίαν παραγίγνεται[1] κλέψων τὰς βοσκούσας ἐνταῦθα βοῦς τοῦ Ἀπόλλωνος. Κομίσας δ' αὐτὰς εἰς τὴν πόρρω εὑρισκομένην Πύλον ἐν σπηλαίῳ ἀπέκρυψεν. Ἐκεῖθεν εἰς Κυλλήνην ᾤχετο, ἔνθα εὑρίσκει πρὸ ἄντρου χελώνην νεμομένην[2]. Ἐθέλων δὲ κατασκευάσαι λύραν ἐκ τοῦ περιβάλλοντος τὴν χελώνην κύτους[3] ἐφόνευσε αὐτήν.

Ἀπόλλων δ' εἰς Κυλλήνην ἔρχεται καὶ τοὺς ἐνταῦθα διαμένοντας ἀνακρίνων πυνθάνεται, εἰ τὸν κλέψαντα τὰς βοῦς γιγνώσκουσιν, ἐπαγγελλόμενος[4] τῷ μηνύσοντι[5] τὰς βοῦς χάριν ἕξειν. Οὗτοι δὲ λέγουσιν ὡς οὐκ ἐγίγνωσκον τὸν ἁρπακότα ταύτας. Ἀπόλλων δὲ μανθάνει τὸν κεκλοφότα ἐκ τῆς μαντικῆς. Εὐθὺς δὲ πρὸς τὴν Μαῖαν μητέρα οὖσαν τοῦ Ἑρμοῦ παραγίγνεται καὶ τὸν παῖδα μηνύει. Ἡ δὲ δεικνύει τοῦτον ἐν σπαργάνοις ὄντα.

Ἀπόλλων δ' ὅμως οὐ πιστεύσας τῇ μητρὶ ἐκόμισε τὸν παῖδα εἰς τοὺς θεούς. Ἐπεὶ δὲ οἱ θεοὶ ἐκέλευσαν, ἔλεγε τῷ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὄντι κεκλοφέναι τὰς βοῦς καὶ κεκρυφέναι ταύτας ἐν σπηλαίῳ. Ἔρχεται οὖν Ἀπόλλων εἰς Κυλλήνην καὶ εὑρίσκει τὰς βοῦς. Ἀκούσας δὲ ἐνταῦθα τῆς λύρας χαρίζεται αὐτῷ τὰς βοῦς καὶ διδάσκει τὴν μαντικήν. Ζεὺς δὲ τὸν Ἑρμῆν κήρυκα τῶν ὑποχθονίων[6] θεῶν ἀναγορεύει.

30. Πᾶν μέτρον ἄριστον.

Ἔστι παροιμία. Ἔστε ἐγκρατεῖς καὶ μηδὲν ἄγαν πράττετε· ἡ γὰρ ὑπερβολὴ τοῖς ἀνθρώποις ἀεὶ λύπην παρέχει. Τὴν μετρίαν δίαιταν διώξατε[1]· ἡ γὰρ ἀκολασία ταύτης πολλῶν κακῶν αἰτία ἐστίν. Ἄγε δή, ὦ φίλε, κάτεχε πεῖναν καὶ δίψαν καὶ φεῦγε τὰς ἄλλας ἐπιθυμίας· πολλοὶ γὰρ ἐν μεσταῖς τραπέζαις διαφθείρουσι δίψαν ἐσθλῶν[2] ἔργων. Εἰ δὲ δόξαν καὶ τιμὴν διώκεις, ἡ τόλμη μὴ ἀρχέτω[3] σωφροσύνης. Θαύμασον δὲ καὶ τοὺς τὴν φιλαργυρίαν φεύγοντας· λέγουσι γὰρ ταύτην ῥίζαν τῶν ἀδικιῶν εἶναι. Γυμνάσατε τό τε σῶμα καὶ τὴν ψυχὴν ἐπ' ἀρετὴν καὶ ἀποβλέψατε πρὸς τοὺς ἐν μετρίᾳ διαίτῃ διάγοντας. Μάλιστα δὲ οἱ λόγοι μέτρον ἐχόντων καὶ φευγόντων τὴν ὑπερβολήν· ἡ γὰρ τῆς γλώττης ἀκολασία πολλοῖς λύπην καὶ αἰσχύνην φέρει. Ἴσθι οὖν φιλαλήθης, ὦ φίλε, καὶ μὴ πολλὰ λέγε, ἀλλὰ καλά· οὐ γὰρ ἐν τῷ πολλῷ τὸ εὖ, ἀλλ' ἐν τῷ εὖ τὸ πολύ. Ὀρθῶς δ' ἔτι καὶ νῦν ἔχει ὁ λόγος· « Ἡ γλῶττα πολλῶν ἐστι κακῶν αἰτία ».

31. Οἱ Σπαρτιᾶται.

Α'. Σπαρτιατῶν ἀνατροφή.

Οἱ Σπαρτιᾶται παῖδες ἀπὸ μικρᾶς ἡλικίας ἐπαιδεύοντο, ὥστε σώφρονες εἶναι. Ἀπὸ τοῦ ἑβδόμου ἔτους οἱ ἄρρενες ἐν κοινοῖς συσσιτίοις ἐσιτίζοντο[1] καὶ ἐτρέφοντο συνήθως μέλα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νι ζωμῷ. Ὁ δὲ μέλας ζωμὸς μελαίνης χρόας[2] ἦν παρασκευαζόμενος ἐκ χοιρείου κρέως καὶ αἵματος.

Καθ' ἡμέραν δ' ἐν ὑπαίθρῳ γυμναζόμενοι ὑπὸ τῶν γυμναστῶν τῷ μὲν σώματι ἐρρωμένοι[3] ἐγίγνοντο, τῇ δὲ ψυχῇ μεγαλόφρονες. Εἰθίζοντο δ' ὑπὸ τῶν ὁμηλίκων καὶ εἰς τὸ κλέπτειν. Τοῖς συλλαμβανομένοις δ' ὅμως ὡς ἄφροσι[4] ποινὴ ἐπεβάλλετο· οὕτω δ' ἐπιστήμονες[5] τῶν πολεμικῶν ἐγίγνοντο. Τοῖς δὲ πατρίοις νόμοις ἐπείθοντο καὶ μνήμονες[6] ἦσαν τῶν Λυκούργου θεσμίων· οἱ δ' ἐπιλανθανόμενοι[7] τούτων ἐκολάζοντο ὑπὸ τῶν ἀρχόντων. Ὁμοίως τοῖς νέοις καὶ αἱ παρθένοι ἐγυμνάζοντο.

Ἐπὶ τούτοις πᾶσιν οἱ Σπαρτιᾶται ἐσεμνύνοντο καὶ μάκαρας καὶ εὐδαίμονας ἑαυτούς[8] ἐλογίζοντο. Πάντας τοὺς νέους τέκνα τῆς αὐτῆς πατρίδος ἐνόμιζον. Οἱ δ' εἵλωτες ἐν Λακεδαίμονι τοὺς ἀγροὺς τῶν Σπαρτιατῶν εἰργάζοντο καὶ ὑπέμενον πολλὰ δεινά. Διὸ τάλανες[9] καὶ κακοδαίμονες ἦσαν.

Β'. Ἀγωγὴ τῶν νέων ἐν Σπάρτῃ.

Οἱ Λακεδαιμόνιοι οὐκ ἐπαίδευον οὐδ' ἔτρεφον τοὺς παῖδας, ὡς ἐβούλοντο. Ἀπὸ τοῦ ἑβδόμου ἔτους κατὰ τοὺς Λυκούργου νόμους ἡ πόλις παρελάμβανε τὰ τέκνα τῶν Σπαρτιατῶν καὶ κατελόχιζεν[1] αὐτὰ εἰς ἀγέλας[2]. Ἔταττε δ' αὐτοῖς ἄρχοντα τὸν διαφέροντα τῇ φρονήσει καὶ τὸν θυμοειδῆ[3] ἐν τῇ μάχῃ. Πρὸς τοῦτον οἱ νέοι ἀπέβλεπον ἀεὶ καὶ προθύμως ἔπραττον τὰ ὑπ' αὐτοῦ παραγγελλόμενα. Οἱ δὲ πρεσβύτεροι τοῖς παιδίοις παίζουσιν ἐπέβλεπον. Γράμματα δ' ὀλίγα ἐδίδασκον τοὺς νέους, ὅσα ἡ χρεία[4] ἐπέβαλλεν αὐτοῖς· ἡ δ' ἄλλη παιδεία ἐγίγνετο πρὸς τὸ ἄρχεσθαι καλῶς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

32. Κίμων ὁ Ἀθηναῖος.

Κίμων ἐπιφανοῦς πατρὸς ἦν· υἱὸς γὰρ τοῦ εὐκλεοῦς[1] στρατηγοῦ Μιλτιάδου[2] ἦν. Οὐ μόνον δὲ ἐπιφανῶν καὶ εὐγενῶν γονέων ἦν, ἀλλὰ καὶ αὐτὸς ἐπιεικὴς[3] τῷ δήμῳ ἦν. Οὗτος τοῖς Ἀθηναίοις συνεβούλευσε τριήρεις[4] κατασκευάσαι· τριήρων γὰρ ἔνδειαν εἶχον. Αὐτῷ δ' ὄντι εὐγενεῖ καὶ ἐπιεικεῖ καὶ οἱ Ἀθηναῖοι εὐμενεῖς ἦσαν.

Τὰ Κίμωνος ἔργα ἐν τῷ πρὸς Πέρσας πολέμῳ περιφανῆ καὶ εὐκλεᾶ ἦν· στρατεύσας γὰρ ἐπὶ βασιλέα μετὰ νίκας πολλὰς τὴν εὐκλεᾶ Κιμώνειον εἰρήνην συνάπτει. Ἐκ τῆς στρατηγίας Κίμων δαψιλῆ τὰ ἀγαθὰ ἔχων ἀνήλισκεν[5] εἰς τοὺς πολίτας· οἱ ἀγροὶ γὰρ αὐτοῦ πλήρεις ὀπωρῶν καὶ εὐώδων ἀνθέων ἦσαν. Τούτων τοὺς φραγμοὺς κατέλυσεν, ὥστε οἱ πολῖται ἐλάμβανον ἄνθη καὶ ὀπώρας. Τοῖς δ' ἐνδεέσι τῶν πολιτῶν εἶχε τράπεζαν πλήρη πολυτελῶν ἐδεσμάτων[6].

Αὐτῷ δ' εἰς τὴν ἀγορὰν πορευομένῳ δύο νεανίσκοι συνείποντο ἀμπεχόμενοι[7] καλῶς. Οὗτοι πρὸς τοὺς πένητας διημείβοντο[8] τὰ ἱμάτια.

33. Γεωργοῦ παῖδες.

Γεωργός τις πολλοὺς ἀγροὺς καὶ πολλὰς ἀμπέλους εἶχε· πολλοὶ δὲ καὶ μεγάλοι κῆποι ἦσαν αὐτῷ. Ἔγεμον δ' οὗτοι πολλῶν καρπῶν καὶ εὐτυχὴς διὰ τοῦτο ἐνομίζετο· πολλὰ γὰρ τἀγαθὰ εἶχεν. Ὄντως δ' ὅμως δυστυχὴς ἦν· οἱ γὰρ παῖδες αὐτοῦ ἐκ πολλοῦ χρόνου ἤριζον καὶ αἴτιοι μεγάλης δυστυχίας τῷ οἴκῳ ἦσαν.

Ἐπειδὴ δ' ὁ γέρων καὶ ἡ μήτηρ πρᾶοι[1] ἦσαν πρὸς τοὺς παῖδας, οὗτοι τούς τε ἀγροὺς οὐκ ἐθεράπευον καὶ ἐν ὁμονοίᾳ οὐ διῆγον. Αἰσθανόμενος δ' ὁ γέρων τὸ τέλος τοῦ βίου ἐγγὺς λέγει τοῖς παισίν· « Ὦ παῖδες, ἕως μὲν ὑγιὴς ἦν, μετὰ πολ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λοῦ καὶ μεγάλου πόνου τοὺς ἀγροὺς ἐθεράπευον καὶ πολλὰ τἀγαθὰ εἴχομεν. Νῦν δ' αἰσθάνομαι τὸ τέλος τοῦ βίου ἐγγύς. Ἐν τοῖς ἀγροῖς μέγαν θησαυρὸν ἔχω. Ἐὰν τούτους θεραπεύσητε, εὑρήσετε τὸν θησαυρόν ».

Τῷ ὄντι δ' οἱ παῖδες μετὰ τὸν θάνατον τοῦ πατρὸς πᾶσαν τὴν ἄμπελον καὶ τοὺς ἀγροὺς ἐν ὁμονοίᾳ ἐθεράπευσαν, θησαυρὸν δ' ὅμως οὐχ ηὕρισκον, οἱ δ' ἀγροὶ καὶ ἡ ἄμπελος διὰ τοῦτο πολὺν τὸν καρπὸν παρεῖχον. Ἐκ τούτου οἱ παῖδες ἐν ὁμονοίᾳ διῆγον καὶ ἐν πολλοῖς ἀγαθοῖς ἦσαν.

34. Ἡ γυμνάστική.

Ἡ γυμναστικὴ ἄσκησις λαμπρὰ τοῦ σώματος καὶ τοῦ πνεύματός ἐστι. Οἱ δ' εὖ τὰ σώματα ἔχοντες ἀεὶ ὑγιαίνουσι



καὶ ἡδέως τὸν βίον διάγουσι· πρῴ[1] τε γὰρ ἐκ τοῦ ὕπνου ἐγείρονται καὶ ἀσμένως ἐσθίουσι καὶ πίνουσι, πολὺ δ' ἔτι εὐχαρίστως καθεύδουσιν.

Οὕτω τὸ μὲν σῶμα αὐτῶν οὐδέποτε κακῶς ἔχει[2], τὸ δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φρόνημα ἀεὶ εὐγενές ἐστιν, ὥστε εὐσεβῶς μὲν πρὸς τοὺς θεούς εὐπρεπῶς δὲ πρὸς τοὺς πρεσβυτέρους, φιλοφρόνως δὲ πρὸς τοὺς ἀδυνάτους ἔχουσιν. Ἐν δὲ τοῖς πολεμικοῖς ἀγῶσι πάνυ ἀνδρείως μάχονται καὶ τῇ πατρίδι ὑπουργίαν[3] προσφέρουσι.

Διὰ ταῦτα ὑπὸ πάντων τῶν πολιτῶν γεραίρονται καὶ τὸν λοιπὸν βίον σεμνῶς διάγουσι καὶ ἀποθνήσκοντες δόξαν τοῖς υἱοῖς καταλείπουσι. Τοῖς δ' ἀσθενῶς τὸ σῶμα ἔχουσι καὶ λήθη καὶ ἀθυμία καὶ μανία πολλάκις ἐγγίγνονται.

35. Κῦρος ὁ νεώτερος.

Κῦρος ὁ νεώτερος ἦν βασιλικώτατος καὶ ἀξιώτατος πάντων τῶν Περσῶν εἰς τὸ ἄρχειν. Παῖς ἔτι ὤν, ὅτε σὺν τῷ πρεσβυτέρῳ ἀδελφῷ ἐπαιδεύετο, δικαιότερος καὶ σωφρονέστερος αὐτοῦ ἐνομίζετο. Τῶν δ' ἡλικιωτῶν[1] αἰδημονέστατος[2] ἦν καὶ τοῖς πρεσβυτέροις ἐπείθετο προθυμότερον τῶν ὑποδεεστέρων[3]. Ἔπειτα δὲ φιλιππότατος ἦν[4]· ἔκρινον δ' αὐτὸν καὶ τῆς τοξικῆς καὶ τῆς ἀκοντίσεως φιλομαθέστατον εἶναι καὶ μελετηρότατον. Ὅτε δ' ἐν ἡλικίᾳ ἦν, φιλοθηρότατος[5] καὶ φιλοκινδυνότατος ἦν καὶ τοῖς μὲν φίλοις πραότατος, τοῖς δ' ἐχθροῖς τραχύτατος καὶ φοβερώτατος ἀνταγωνιστὴς ἦν.

Σατράπης δὲ τῆς Λυδίας ὢν ἐν βραχυτάτῳ χρόνῳ ἄρχων ἱκανώτατος καὶ ἐγκρατέστατος γίγνεται. Πᾶσαι δ' αἱ πόλεις προθύμως ἐπείθοντο αὐτῷ καὶ εὐδαιμονέστεροι ἢ πρὶν ἦσαν καὶ πάντες δ' οἱ φίλοι πιστότεροι αὐτῷ ἦσαν.

36. Κροῖσος καὶ Σόλων.

Κροῖσος ὁ Λυδῶν[1] βασιλεὺς πλουσιώτατος καὶ κράτιστος ἐνομίζετο εἶναι. Ἧκε δέ ποτε εἰς Σάρδεις Σόλων ὁ Ἀθηναῖος. Τοῦτον ὁ βασιλεὺς προθυμότατα καὶ λαμπρότατα ἐξένισεν[2],

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκέλευσε δὲ τοὺς θεράποντας τὸν ξένον περιάγειν κατὰ τοὺς μεγίστους θησαυρούς. Ἔπειτα δὲ λέγει αὐτῷ· « Ὦ ξένε Ἀθηναῖε, σὺ μάλιστα προέχεις[3] σοφίᾳ πάντων Ἀθηναίων· σωφρονέστερον καὶ δικαιότερον παντὸς ἄλλου κρίνεις. Βούλομαι ἀκούειν σου, εἰ νομίζεις ἄλλον εὐδαιμονέστατον ».

Σόλων δ' οὐ τὰ ἡδίω, ἀλλὰ τὰ ἀληθέστερα προκρίνων ἀποκρίνεται. « Οὐκ ἀεὶ οἱ τύραννοι εὐδαίμονές εἰσιν· οὗτοι γὰρ τῶν μεγίστων μὲν ἀγαθῶν ἐλάχιστα μετέχουσι, τῶν μεγίστων δὲ κακῶν πλεῖστον μεταλαμβάνουσιν. Ἐγὼ πλέον σοῦ



μακαρίζω τοὺς παῖδας τῆς Ἀργείας ἱερείας Κλέοβιν καὶ Βίτωνα. Οὗτοι πάντων τῶν Ἀργείων ἐρρωμενέστατοι ἦσαν καὶ ἐν τοῖς ἀγῶσιν οὐδενὸς χείρους, ἆθλα δὲ πλεῖστα καὶ λαμπρότατα ἐλάμβανον. Διὸ καὶ εὐνούστατοι[4] αὐτοῖς οἱ θεοὶ ἦσαν· οὔσης γὰρ ἑορτῆς τῇ Ἥρᾳ, ἐπεὶ οἱ βόες ἐκ τοῦ ἀγροῦ οὐ παρῆσαν, οἱ νεανίαι ἐλαύνοντες τὴν ἱερὰν ἅμαξαν μετὰ τῆς μητρὸς εἰς τὸ ἱερὸν κομίζουσιν θᾶττον τῶν βοῶν. Διὸ καὶ ἀρίστη ἡ τελευτὴ τοῦ βίου ἦν αὐτοῖς· δῶρον γὰρ μέγιστον καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἥδιστον πέμπουσιν οἱ θεοὶ θάνατον· μετὰ γὰρ τὴν ἑορτὴν νήδυμος[5] ὕπνος καταλαμβάνει αὐτούς ».

Κροῖσος δὲ λέγει τὸ δεύτερον. « Ἐγὼ οὔκ εἰμι τῶν ἄλλων; » Σόλων δ' ἀποκρίνεται· « Οὐχ ἧττον[6] τούτων μακαρίζω Τέλλον τὸν Ἀθηναῖον. Τούτῳ παῖδες ἦσαν βέλτιστοι καὶ τελευτὴ τοῦ βίου ἦν αὐτῷ καλλίστη· στρατεύσας γὰρ ἐπὶ Μεγαρέας κάλλιστα ἀποθνήσκει. Οἱ δ' Ἀθηναῖοι δημοσίᾳ θάπτουσι τοῦτον καὶ οὐδένα ἐν μείζονι τιμῇ εἶχον ».

Ἐπὶ τούτῳ τῷ λόγῳ χαλεπώτερον εἶχεν[7] ὁ βασιλεὺς ἢ πρότερον. Διὸ λέγει· « Ὦ ξένε Ἀθηναῖε, ἐγὼ δ' οὐδενός εἰμι κρείττων, οὐδ' εὐδαιμονέστερος ; » Ὁ δὲ Σόλων λέγει· « Ὦ βασιλεῦ, πλοῦτον μὲν ἔχεις πλείω καὶ δύναμιν μείζω τῶν ἄλλων ἀνθρώπων, πλεῖσται δ' ὅμως τύχαι τῷ ἀνθρώπῳ γίγνονται μέχρι τῆς τελευτῆς. Ὁ θάνατος δὲ μόνον ἐλέγχει ταύτας ἀκριβέστερον παντὸς ἄλλου. Ἐὰν μέχρι τέλους τοῦ βίου εὐδαιμονέστατος διάγῃς, τότε καὶ σὲ λέξω εὐδαίμονα ».

37. Εὐχὴ Καμβύσου πρὸς Κῦρον τὸν πρεσβύτερον.

Κύρῳ ἄγοντι τὸν στρατὸν ἐπὶ στρατείαν ὁ πατὴρ ἤρχετο[1] λόγου· « Ὦ παῖ, εὐμενεῖς σοι εἶεν οἱ θεοὶ καὶ ἄγοιέν[2] σε ἐπὶ τὴν στρατείαν εὐμενῶς καὶ ἀεὶ πέμποιέν σοι οἰωνοὺς καλοὺς καὶ γιγνώσκοις τὰ οὐράνια σημεῖα. Ταῦτα δὲ γιγνώσκων πράττοις τὰ ἄριστα καὶ μηδέποτε ἔνδεια[3] μάντεων εἴη σοι ». Κῦρος δ' ἀποκρίνεται· « Εἴθ' ἐθέλοιεν οἱ θεοὶ εὐμενεῖς ἡμῖν εἶναι καὶ συμβουλεύοιεν τοῖς σημείοις τὰ ἄριστα. Καὶ ὑμεῖς δ' ὑγιαίνοιτε καὶ εὖ πράττοιτε[4] μέχρι τῆς ἐπανόδου ἡμῶν. Εἴθε δὲ σημαίνοιεν διοσημίαις[5] οἱ θεοὶ ὑμῖν, ὅτε ἡμεῖς ἐπιτυγχάνομεν ». Ταῦτα τοὺς θεοὺς ἐπηύχοντο γιγνώσκοντες ὅτι ἀνάγκη τοὺς ἀνθρώπους ἐπιμέλεσθαι[6] τῶν θεῶν, ὅταν εὖ πράττωσι καὶ μή, ὅταν ἐν ἀπόρῳ ὦσιν[7].

3

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

38. Διάλογοι Ξέρξου καὶ Δημαράτου

Ξέρξης πρὸ τῆς ἐν Θερμοπύλαις μάχης κατάσκοπον ἔπεμπεν ἰδεῖν[1], ὁπόσοι εἶεν οἱ Ἕλληνες καὶ τί πράττοιεν. Ἐν Θετταλίᾳ γὰρ ὢν ἤκουεν ὡς ἐνταῦθα οἱ Ἕλληνες ἠθροικότες εἶεν πολὺν στρατὸν καὶ ὅτι ἡγεμόνες εἴησαν οἱ Λακεδαιμόνιοι. Ὡς δ' ὁ κατάσκοπος ἐπλησίασε πρὸς τὸ στρατόπεδον, ἐπυνθάνετο ὅτι οἱ Λακεδαιμόνιοι ἔξω τοῦ τείχους εἴησαν.

Ἐνταῦθα δ' οὗτοι ἐγυμνάζοντο καὶ ἐκτενίζοντο, Λεωνίδας δὲ τούτοις ἔλεγεν· « Ἄνδρες στρατιῶται, σώζοιτε τὴν πατρίδα ἀποθνήσκοντες ὑπὲρ αὐτῆς· οὕτω γὰρ ἂν[2] ἀποτρέψαιτε τὸν τῶν βαρβάρων κίνδυνον ». Ταῦτα Ξέρξης ἀκούων καὶ θαυμάζων μετεπέμπετο[3] Δημάρατον τὸν Λακεδαιμόνιον καὶ ἔλεγεν αὐτῷ, τί ὁ κατάσκοπος εἰρηκὼς εἴη· « Ἐγὼ μέν, ὦ βασιλεῦ, ἔλεγόν σοι καὶ πρότερον ὅτι οἱ ἄνδρες οὗτοι κωλύσοιεν ἡμᾶς διαβαίνειν τὴν στενωπόν. Καὶ νῦν δὲ λέγω ὅτι ἐπὶ πᾶν ἥξουσι[4] περὶ τῆς νίκης· εἰ μὴ τὸ πρᾶγμα οὕτως ἔχοι, νομίζοις ἄν με ψεύστην ». Ταῦτα δ' ὅμως λέγων οὐκ ἔπειθε Ξέρξην. Διὸ ἐπιλέγει· « Ὦ βασιλεῦ, εἰ μὴ ἀληθεύσαιμι, θανάτῳ κολάσαις ἄν με ».

39. Λέων καὶ ἀλώπηξ.

Λέων ἐπιτυχὼν[1] λαγῳῷ καθεύδοντι τοῦτον ἐβούλετο καταφαγεῖν. Μεταξὺ δ' ἔλαφον παρελθοῦσαν ἰδὼν ἐκεῖνον ἀπέλυσε καὶ τῇ ἐλάφῳ ἐπέδραμεν· ἐνόμιζε γὰρ πλείονα τροφὴν ἕξειν, ἐὰν τὴν ἔλαφον συλλάβῃ.

Ὁ μὲν οὖν λαγῳὸς ἀκούσας τῶν ψόφων[2] ἔφυγεν· ὁ δὲ λέων ἐπιδραμὼν τῇ ἐλάφῳ καὶ ἀποκαμὼν[3] οὐχ οἷός τ' ἦν ταύτην καταλαβεῖν. Διὸ ταύτην καταλιπὼν ἐπὶ τὸν λαγῳὸν ἐπανῆλθε λογιζόμενος· « Εὕροιμι τὸν λαγῳόν· ἱκανόν μοί ἐστιν ἐν τῷ παρόντι οὗτος ». Ἐπεὶ δ' ὅμως τὸν λαγῳὸν οὐχ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ηὗρεν, εἶπε· « Δίκαια ἔπαθον, ὅτι ἔλαθον[4] καὶ τὴν ἐν χερσὶ βορὰν[5] ἀπολέσας ».

Ἀλώπηξ δὲ παρατυχοῦσα εἶπεν αὐτῷ· « Μάθε ὡς ἄφρων εἶ· τὸ γὰρ ὑπάρχον ἀγαθὸν περιιδὼν[6] ἐπὶ ἀβεβαίαν ἐλπίδα ἔδραμες ».

40. Φύσις τοῦ ἀνδρὸς καὶ τῆς γυναικός.

Ὁ θεὸς ἐπέταξε τὴν γυναῖκα μὲν ἔχειν τὴν ἐπιμέλειαν τῶν ἐν τῷ οἴκῳ, τὸν δ' ἄνδρα περὶ τῶν ἔξω φροντίζειν. Καὶ ὁ μὲν ἀνὴρ οἷός τ' ἐστὶν ὑπομένειν καὶ ψύχη[1] καὶ θάλπη[2] καὶ ὁδοιπορίας καὶ στρατείας, τὴν δὲ γυναῖκα οὐ νομίζομεν ἱκανὴν ἐπὶ τὰ τοιαῦτα ἔργα εἶναι.

Ἐπεὶ δ' ἀνάγκη φυλάττεσθαι καλῶς τὰ ὑπὸ τοῦ ἀνδρὸς εἰσκομιζόμενα, ἡ γυνὴ ἀναγκάζεται ἐν τῷ οἴκῳ μένειν καὶ τὴν φροντίδα αὐτῶν ἔχειν. Διὸ λέγουσιν ἀγαθὴν γυναῖκα εἶναι τὴν περὶ πάντων τῶν ἐν τῷ οἴκῳ ἐπιμελομένην. Γιγνώσκων δ' ὁ θεὸς ὅτι πρὸς τὸ φυλάττειν εἰκὸς[3] τὴν ψυχὴν φοβερὰν[4] εἶναι, πλεῖον μέρος τοῦ φόβου τῇ γυναικὶ ἢ τῷ ἀνδρὶ ἐφύτευσεν.

Ἵνα δ' ὁ οἶκος εὐδαίμων ᾖ, ἀνάγκη τοὺς γονέας στέργειν μὲν ἀλλήλους, ἀνατρέφειν δὲ καὶ παιδεύειν τὰ τέκνα, ὥστε μηδὲν τῶν ἀναγκαίων ἐλλείπειν, ἀγαθοὺς δὲ πολίτας αὐτὰ γίγνεσθαι.

41. Ἀγησίλαος καὶ οἱ Θάσιοι.

Οἱ Θάσιοι πορευομένῳ τῷ Ἀγησιλάῳ διὰ τῆς χώρας ἄλφιτα[1] καὶ χῆνας καὶ ὄψα[2] πολυτελῆ ἔπεμψαν λέγοντες αὐτῷ. « Ἡμεῖς θαυμάζομέν σε τῆς ἀρετῆς καὶ ταῦτα δῶρά σοι οἱ ἄρχοντες πέμπουσιν, εἰς αὔριον δὲ πέμψουσι πλείονα ».

Ἀγησίλαος δὲ μόνα τὰ ἄλφιτα ἐλάμβανε, τὰ δὲ λοιπὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκέλευσε τοὺς κεκομικότας ἀπάγειν ὀπίσω. Ἐπειδὴ δ' οὗτοι ἐθαύμασαν ὅτι οὐ λαμβάνοι τὰ δῶρα, Ἀγησίλαος ἔλεξεν αὐτοῖς· « Ἐὰν ἐθίσω τοὺς στρατιώτας εἰς πολυτέλειαν, οὐδὲν τῶν εἰλώτων διοίσουσιν[3]· τούτοις γὰρ προσήκει[4] τὰ δῶρα καὶ οὐκ ἐλευθέροις ἀνδράσιν. Ἀπάγετε οὖν ταῦτα ὀπίσω καὶ λέξατε τοῖς ἄρχουσιν ὅτι ταῦτα οὐκ ἐστι χρήσιμα τοῖς στρατιώταις ».

Οἱ Θάσιοι ἀκούσαντες τῶν πρέσβεων καὶ ἔτι πλέον θαυμάσαντες τὸν ἄνδρα ἐκήρυξαν θείαις τιμαῖς θεραπεύειν αὐτόν. Ἔπεμψαν δὲ περὶ τούτου πρέσβεις πρὸς Ἀγησίλαον. Οἱ δ' ἔλεγον· « Ὦ Ἀγησίλαε, οἱ τῆς πόλεως ἄρχοντες πεπόμφασιν ἡμᾶς λέξοντάς σοι ὅτι ἡ πόλις ἡμῶν ὡς θεὸν θεραπεύσει σε ». Ὁ δ' ἔλεγεν· « Ἄγετε καὶ πράξατε πρῶτον ὅ,τι ἂν[5] ὑμῖν λέξω. Ποιήσατε πρῶτον ὑμᾶς αὐτοὺς θεοὺς καί, εἰ τοῦτο πράξαιτε, λέξαιτε ἂν ὅτι καὶ τοὺς ἄλλους οἷοί τ' ἐστὲ θεοὺς ποιῆσαι ».

42. Αἰνείου[1] εὐσέβεια.

Οἱ ἡγεμόνες τῶν Ἑλλήνων μετὰ τὴν Ἰλίου ἅλωσιν ἔλεγον τοῖς στρατιώταις· « Ἄνδρες στρατιῶται, φειδώμεθα τῶν ἁλισκομένων[2] καὶ λογιζώμεθα, μὴ ἄδικα φαινώμεθα[3] ἐργαζόμενοι· οὕτω γὰρ ἂν τοὺς θεοὺς εὐμενεῖς ἔχοιμεν καὶ ἀσφαλεῖς ἂν οἴκαδε διαπορευοίμεθα ». Τοῖς δὲ Τρωσὶν ὀλοφυρομένοις ἔλεγον· « Ὦ Τρῶες, νικηταὶ μέν ἐσμεν, ἐπιτρέπομεν δ' ὑμῖν φέρεσθαι ὅ,τι ἂν βούλησθε τῶν οἰκείων. Μὴ οὖν ὀδύρεσθε, ἀλλὰ κομίζεσθε[4] ἕν τι τούτων καὶ φεύγετε ».

Πάντες μὲν τότε οἱ ἄλλοι ἐκομίζοντό τι τῶν οἰκείων. Αἰνείας δὲ μόνος τοὺς πατρῴους θεοὺς λαβὼν ἔφερεν ἐπὶ τῶν ὤμων ὑπεριδὼν[5] τῶν ἄλλων. Οἱ δ' Ἕλληνες ἡδόμενοι ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ ἐπέτρεψαν αὐτῷ φέρεσθαι καὶ δεύτερον κτῆμα. Ὁ δὲ τὸν γέροντα πατέρα ἀναλαβὼν τοῖς ὤμοις ἀπῆλθεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ δ' Ἕλληνες ἐξεπλήττοντο οὐχ ἥκιστα[6] ἐπὶ τούτῳ καὶ πάντα ἐπέτρεψαν λαμβάνειν. Οὕτω ἐν τιμῇ εἶχον τοὺς πρὸς τοὺς θεοὺς καὶ τοὺς γονέας εὐσεβεῖς γιγνομένους.

43. Λόγοι Ξενοφῶντος πρὸς Ἕλληνας.

Οἱ Ἕλληνες μετὰ τὸν τῶν στρατηγῶν θάνατον χαλεπῶς ἔφερον, ὅτι ᾤοντο ἐν κινδύνῳ ἔσεσθαι, καὶ ἄθυμοι διὰ τοῦτο ἦσαν. Ξενοφῶν δὲ τούτους ἀθροίζει καὶ εὐξάμενος τοῖς θεοῖς πρῶτον ἔλεγεν αὐτοῖς· « Ἄνδρες Ἕλληνες, πρὸ ὀλίγων ἔτι ἡμερῶν ἀντιταξάμενοι τοῖς πολεμίοις διεπράξασθε[1], ὥστε καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ ὄνομα τῶν Ἑλλήνων φόβον τοῖς Μήδοις εἶναι. Καὶ τότε μὲν περὶ τῆς Κύρου ἀρχῆς ἠγωνίσασθε καὶ εἰς φυγὴν τοὺς πολεμίους ἐτρέψασθε, νῦν δὲ περὶ τῆς ἰδίας σωτηρίας ἀγωνιζόμεθα. Ἀφ' οὗ χρόνου ἐσπεισάμεθα[2] Τισσαφέρνει, ἐνομίσαμεν εἰρήνην ἡμῖν ἔσεσθαι. Βασιλεὺς μέντοι τὰς σπονδὰς λέλυκε καὶ φυλάττεται ἡμᾶς ὡς πολεμίους. Φυλαξώμεθα οὖν καὶ ἡμεῖς τοὺς βαρβάρους καὶ μηκέτι τούτοις σπεισώμεθα· οὕτω δὲ τὸ λοιπὸν[3] πορευσόμεθα διὰ πολεμίας τῆς χώρας, ἀλλ' ἀσφαλεῖς ἐσόμεθα καὶ διαπραξόμεθα εἰς Ἑλλάδα ἐλθεῖν. Εἰ δὲ καθ' ἡμέραν πορευοίμεθα πλεῖον, ἀπαλλαξαίμεθα ἂν πολὺ τοῦ στρατεύματος. Εἰ δ' ἄχθεσθε[4], ὅτι ἡγεμὼν ἡμῖν οὐκ ἔσται Τισσαφέρνης, σκέψασθε, εἰ συμφέρει ἡμῖν ἡγεμόνα ἔχειν τὸν ἐργασάμενον ἡμᾶς κακά. Παύσασθε οὖν πιστεύοντες τοῖς βαρβάροις καὶ ψηφίσασθε[5] κατακαῦσαι τὰς ἁμάξας, ἵνα μὴ ἐμποδὼν[6] ὑμῖν ὦσι. Κελεύω δὲ πρῶτον εὔξασθαι τοῖς θεοῖς εὐμενεῖς ἡμῖν εἶναι. Ἐπιτήδεια δέ, ὡς μανθάνω, ἐλπίζω ἡμᾶς εὑρήσεσθαι ἐν τῇ ἐγγὺς χώρᾳ ».

Ἀκούσαντες οἱ στρατιῶται καὶ ψηφισάμενοι ταῦτα ἀπῆλθον ἐπὶ τὰς σκηνάς.

44. Θάνατος Σωκράτους[1].

Πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου πολλοὶ τῶν μαθητῶν συνηθροισμένοι ἦσαν ἐν τῷ πρὸ τῆς φυλακῆς χώρῳ.

Σωκράτης δ' ἐκείνης τῆς νυκτὸς ἀνεπέπαυτο λαμπρῶς καὶ οὐδόλως ἐτετάρακτο. Ἅμα δὲ τῇ ἡμέρᾳ εἰσῆλθον διὰ τῆς πρὸς βορρᾶν τετραμμένης πύλης πολλοί, μεταξὺ δὲ καὶ οἱ παῖδες κεκομισμένοι ἦσαν. Σωκράτης δὲ πρὸς τοὺς ἠθροισμένους ἔλεγεν· « Ἄνδρες φίλοι, ἅπαντα τὸν βίον πεπολίτευμαι[2] σωφρόνως καὶ ἀξίως τῆς πόλεως. Διδάσκων τοὺς νέους καὶ προάγων αὐτοὺς ἐπ' ἀρετὴν οὐδεπώποτε πέπραγμαι μισθὸν[3] αὐτοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νομίζων οὕτω τὰ ὑπὸ τῶν θεῶν τεταγμένα μοι πράττειν Ἡσθανόμην δ' ὅτι οὐδενὶ τρόπῳ ἀποτετραμμένος ἂν εἴην τούτου. Διὸ καὶ ὑμεῖς μηδέποτε παύσασθε πολιτευόμενοι δικαίως· ἐὰν γὰρ οὕτω πεπαιδευμένοι ἦτε, ὠφέλιμοι τῇ πολιτείᾳ ἔσεσθε ». Ταῦτα αὐτοῖς εἶπεν.

Εὐθὺς δὲ μετὰ τοῦτο ἔλεξεν· « Ἀλλ', ὦ Κρίτων, ἐνεγκέτω τις τὸ φάρμακον, εἰ τέτριπται ». Καὶ ὁ ἄνθρωπος ἐν κύλικι τὸ φάρμακον τετριμμένον ἤνεγκε τῷ Σωκράτει. Καὶ οὗτος μὲν ἐξέπιεν[4] ἠρέμα τοῦτο, πολλοὶ δὲ τῶν παρόντων ἐγκεκαλυμμένοι τὸ πρόσωπον ταῖς χερσὶν ἀπέκλαιον. Ὁ δ' ἐπειδὴ τὰ σκέλη ᾐσθάνετο βαρυνόμενα, ὕπτιος κατεκλίνετο. Ὁ δ' ἄνθρωπος διατρίψας συχνὸν[5] χρόνον ἐξεκάλυψεν αὐτὸν — ἐνεκεκάλυπτο γάρ· — Κρίτων δ' ἰδὼν αὐτὸν νεκρὸν συνέκλεισε τὸ στόμα καὶ τοὺς ὀφθαλμούς.

45. Ἡρακλῆς ἔφηβος.

Ἡρακλῆς ἔφηβος γενόμενος ἐν ἀπορίᾳ ἦν, ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράποιτο[1], τὴν δι' ἀρετῆς ἢ τὴν διὰ κακίας. Ἐγένετο οὖν ἔξω τῆς πόλεως καὶ ἐνταῦθα τῷ Διὶ ηὔχετο λέγων· « Ζεῦ πάτερ, γενοῦ μοι βοηθός, ἵνα τὴν ἀρίστην τράπωμαι καὶ ὠφέλιμος τοῖς ἀνθρώποις γένωμαι ».

Αἴφνης ἐπιφαίνεται γυνὴ τὰ μάλιστα κεκαλλωπισμένη. Αὕτη προσγενομένη[2] τῷ Ἡρακλεῖ λέγει· « Ἐπυθόμην, ὦ Ἡράκλεις, ὅτι ἐν ἀπορίᾳ εἶ, ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. Ἐὰν ἕλῃ[3] ἐμὲ καὶ ἐπίσπῃ[4] μοι, ἄξω σε τὴν ἡδίστην καὶ ῥᾴστην ὁδόν· πάντα δὲ τἀγαθὰ ἕξεις ἀπονώτατα. Οὐδεὶς δὲ φόβος, μὴ γένηταί ποτε ἀπορία[5] τούτων· παρέχω γὰρ τοῖς συνοῦσιν ἐμοὶ τὴν ἐξουσίαν εὑρίσκεσθαι τὰ ἀγαθὰ πανταχόθεν καὶ διὰ κλοπῆς ».

Ἐν τούτῳ ἐπιφαίνεται μακρόθεν δευτέρα γυνή. Αὕτη

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀφικομένη πλησίον τῷ Ἡρακλεῖ λέγει· « Ἐγώ, ὦ Ἡράκλεις ἥκω πρός σε οὐκ ἄπειρος οὖσα τῶν γονέων καὶ γιγνώσκουσα τὴν ἀγαθὴν φύσιν καὶ παιδείαν ἐκ παιδός. Ἐλπίζω δέ, εἰ τράποιο τὴν πρὸς ἐμὲ ὁδόν, γενέσθαι ἄν σε ἀγαθὸν ἐργάτην τῶν σεμνῶν καὶ τῶν καλῶν. Ἐπιλαθοῦ τῶν ἡδέων ταύτης λόγων καὶ ἑλοῦ ἐμέ, ἵνα ἀγαθὸς ἀνὴρ γένῃ ». Ἡρακλῆς δ' ἤρετο, πῶς ταύτας ὀνομάζουσι. Πυθόμενος δ' ὅτι ἡ μὲν πρώτη Κακία, ἡ δὲ δευτέρα Ἀρετὴ ὀνομάζονται, εἵλετο τὴν Ἀρετὴν καὶ ἀνὴρ ἔνδοξος ἐγένετο.

46. Ἁρπαγὴ Περσεφόνης.

Περσεφόνη θυγάτηρ Δήμητρος ἦν. Παιδευθεῖσα δὲ καὶ ἀνατραφεῖσα ὑπ' αὐτῆς λαμπρῶς καλλίστη καὶ σωφρονεστάτη τῶν παρθένων ἐγένετο. Ταύτην Πλούτων[1] γυναῖκα ἠβουλήθη λαβεῖν.

Πορευθεὶς οὖν πρὸς τὸν Δία, τὸν ἀδελφόν, εἶπεν αὐτῷ· « Ζεῦ, βούλομαι Περσεφόνην γυναῖκα ἁρπάσαι ». Ἔλεγε δ' ὅτι τοῦ ἔργου τούτου οὐδέποτε ἀπαλλαγήσοιτο[2]. Ζεὺς δὲ πεισθεὶς ἐπιτρέπει τοῦτο τῷ Πλούτωνι.

Συλλεγεῖσαι οὖν ποτε αἱ παρθένοι εἰς τοὺς ἀγροὺς ἐπορεύθησαν ἄνθη συλλέξουσαι. Περσεφόνη δ' ἀπαλλαγεῖσα τῶν ἄλλων συνήθροιζεν ἄνθη. Αἴφνης ἡ γῆ διασχισθεῖσα τὴν Περσεφόνην κατέπιε· πράγματι δ' ὅμως αὕτη ὑπὸ Πλούτωνος ἁρπαγεῖσα εἰς Ἅδου[3] ἤχθη.

Αἱ ἄλλαι παρθένοι διασωθεῖσαι οἴκαδε ἐνόμισαν ταύτην εἰς βάραθρον κατακρημνισθῆναι. Δημήτηρ δὲ νυκτὸς καὶ ἡμέρας περιάγουσα ἀνημμέναις λαμπάσι τὴν θυγατέρα οὐχ ηὕρισκεν.

Ἐπεὶ δ' ἐμηνύθη αὐτῇ ὑπὸ ἑρμηνέων ὅτι Περσεφόνη ὑπὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πλούτωνος ἁρπαγείη, προσῆλθε τῷ Διὶ κλαίουσα καὶ εἶπεν αὐτῷ· « Ζεῦ πάτερ, πῶς ἂν ἡσθείην καὶ τερφθείην ἐν τῷ βίῳ, εἰ τὸ λοιπὸν ἀναγκασθείην διάγειν ἄνευ τῆς θυγατρός ; » Ζεὺς δὲ μεταπεμψάμενος Πλούτωνα λέγει αὐτῷ· « Ὦ Πλούτων, ἡ Περσεφόνη τὸ ἥμισυ μὲν τοῦ ἔτους μενέτω παρὰ σοί, τὸ δ' ἕτερον παρὰ τῇ μητρί. Πορεύθητι οὖν, Περσεφόνη, πρὸς τὴν μητέρα ».

Οὕτω Ζεὺς νομίσας τόν τε Πλούτωνα ἡσθήσεσθαι καὶ τὴν Δήμητρα ἀνακουφισθήσεσθαι τὰ κατὰ Περσεφόνην ἔταξεν.

47. Μειράκιον Ἐρετρικόν

Μειράκιον[1] Ἐρετρικὸν διέτριψε παρὰ Ζήνωνι[2] τῷ φιλοσόφῳ, ἕως εἰς ἄνδρας ἀφίκετο. Ὕστερον δ' οὗτος εἰς Ἐρέτριαν ἦλθεν. Ὁ δὲ πατὴρ ἤρετο αὐτόν, εἰ μάθοι σοφόν τι ἐν τῇ τοιαύτῃ διατριβῇ[3] παρ' ἐκείνῳ τῷ φιλοσόφῳ. Ὁ δ' ἔφη δείξειν τοῦτο. Ὅτε γάρ ποτε ὁ πατὴρ ὠργίσθη αὐτῷ καὶ τέλος ἔπαισεν[4] αὐτόν, ὅδε ἡσυχίαν ἄγων[5] εἶπεν· « Ὦ πάτερ, τόδε μεμάθηκα· τοιοῦτός σοι εἶναι, ὥστε σοι τηλικούτῳ[6] ὄντι μηδέποτε ἀγανακτεῖν· εἰ γὰρ τὰ αὐτὰ[7] σοι καὶ ἐγὼ ἔπραττον, κακὸς ἂν υἱὸς ἦν[8] ». Ὁ δὲ πατὴρ ἐπὶ τῷ τοιούτῳ τοῦ παιδὸς τρόπῳ ἥσθη καὶ εἶπεν· « Ἀληθῶς θαυμάζω ἐκεῖνον τὸν φιλόσοφον, ὅτι τοιαῦτα μαθήματα περὶ τοὺς γονέας ἐδιδάξατό σε· ταῦτα γάρ ἐστι ὁ κάλλιστος κόσμος[9] τῶν νέων.

48. Δερκυλίδας[1] καὶ Μειδίας[2].

Μειδίας φονεύσας τὴν μητέρα τῆς ἑαυτοῦ γυναικὸς Μανίαν κύριος τῆς Αἰολίδος ἐγένετο καὶ ἐν τῇ τῶν Γεργιθίων ἀκροπόλει μετὰ τῆς ἑαυτοῦ φρουρᾶς διέμενεν. Ὅτε οὖν Δερκυλίδας τὴν Αἰολίδα καὶ Γέργιθα κατέλαβεν, ἐβούλετο κολά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σαι[3] Μειδίαν ἐπὶ τῷ τῆς Μανίας θανάτῳ. Πρὸς τοῦτο ἔταξε[4] μὲν τοὺς ἑαυτοῦ στρατιώτας περὶ τὰ τείχη, αὐτὸς δὲ σὺν τῷ Μειδίᾳ εἰσῆλθεν εἰς τὴν ἀκρόπολιν, ἔνθα τῇ Ἀθηνᾷ ἔθυσε. Μειδίας δὲ προαισθόμενος κακὰ τοῖς ἑαυτοῦ λέγει τῷ Δερκυλίδᾳ· « Ἐγώ, ὦ Δερκυλίδα, ἀπέρχομαι οἴκαδε παρασκευάσων ξένιά σοι καὶ τοῖς σοῖς στρατιώταις ». Δερκυλίδας μέντοι λέγει· « Οὐ μὰ Δία· αἰσχρὸν γὰρ ξενίζεσθαι[5] ἐμὲ καὶ τοὺς ἐμοὺς στρατιώτας ὑπὸ σοῦ καὶ τῶν ὑμετέρων· ἡμεῖς γὰρ ἐθύσαμεν τῇ θεᾷ· μένε παρ' ἡμῖν. Ἕως δ' ἂν τὸ δεῖπνον ὑπὸ τῶν ἡμετέρων παρασκευάζηται, ἐγὼ καὶ σὺ τὰ δίκαια διασκεψόμεθα[6] ». Ἐπεὶ δ' ἐκαθέζοντο, λέγει Δερκυλίδας· « Οἱ ἡμέτεροι, ὦ Μειδία, καταλείπουσι τὴν σφετέραν οὐσίαν τοῖς ἑαυτῶν υἱοῖς· ὑμεῖς δὲ καὶ οἱ ὑμέτεροι τί πράττετε ; Σὲ ὁ πατὴρ ἄρχοντα τοῦ σοῦ οἴκου κατέλιπε καὶ τῶν σῶν οἰκιῶν καὶ νομῶν[7] ; » « Μάλιστα », εἶπεν ὁ Μειδίας. Καταλέγοντος[8] δὲ Μειδίου τὰ κτήματα ἀπέγραφον[9] οἱ περὶ Δερκυλίδαν. Ἐπεὶ δ' ἀπεγέγραπτο πάντα, λέγει ὁ Δερκυλίδας· « Μανία δὲ τίνος ἦν ; » Οἱ δὲ παρόντες εἶπον « Φαρναβάζου ». « Οὐκοῦν », εἶπεν ὁ Δερκυλίδας, « καὶ τὰ ἐκείνης ἡμέτερα ἂν εἴη, ἐπεὶ νικηταί ἐσμεν ». Οὕτω Δερκυλίδας τὸν τῆς Μανίας θάνατον ἔχων αἰτίαν τὴν ἀρχὴν τὸν Μειδίαν ἀφείλετο καὶ κύριος τῆς Αἰολίδος ἐγένετο.

49: Λόγος Κύρου τοῦ πρεσβυτέρου πρὸς τοὺς στρατιώτας.

Κῦρος ὁ πρεσβύτερος στρατεύων ἐπὶ Λυδίαν τοὺς στρατιώτας ὧδε ἐθάρρυνεν[1]· « Ἄνδρες φίλοι, γιγνώσκετε δήπου[2] ὅτι ὑμᾶς καὶ ἀγαπῶ καὶ τιμῶ, ἐπεὶ καὶ ὑμεῖς τιμᾶτε καὶ ἀγαπᾶτέ με. Ἐκ παίδων ἠγάπων καὶ ἐτίμων ὑμᾶς· ἑώρων γὰρ ὅτι ἐγκρατεῖς[3] εἴητε εἰς τὸ πεινῆν καὶ διψῆν· οὐδεὶς γὰρ ὑμῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔπινεν, εἰ μὴ διψῴη, οὐδ' ἤσθιεν, εἰ μὴ πεινῴη. Πρὸς δὲ λογίζομαι ὅτι ἐτολμᾶτε πάντα κίνδυνον ὑπομένειν καὶ πάντα τρόπον ηὑρίσκεσθε, ὥστε ἐργάται ἀγαθῶν ἔργων γενέσθαι. Ὁμοίως δὲ καὶ νῦν ὁρῶ ὅτι τὰ πολεμικὰ ἀγαθοὶ ἄνδρες ἐστέ· τοὺς γὰρ πόνους τοῦ ζῆν ὑπομένετε, ἐν δὲ τοῖς κινδύνοις οὐκ ἀποδειλιᾶτε, οὐδέποτε δ' ὁ ὕπνος νικᾷ[4] ὑμᾶς. Ἐὰν οὖν καὶ νῦν μὴ ἀποδειλιῶμεν, βεβαίαν τὴν νίκην ἕξομεν. Ὁρμῶμεν οὖν προθύμως ἐπὶ τοὺς πολεμίους· οὕτω νικῷμεν ἂν αὐτούς. Ἐγὼ δ' ἂν ὑμᾶς ὁρῶ τολμῶντας, ἀγαθὸς ἡγεμὼν ἔσομαι καὶ ἀμείψω ὑμᾶς. Τολμᾶτε οὖν καὶ νικᾶτε τοὺς πολεμίους οὕτω τιμῷτε ἂν τὴν πατρίδα ».

Ταῦτ' εἰπὼν ἔθυσε τοῖς θεοῖς καὶ εὐθὺς ἐπὶ τὴν Λυδίαν ἦγε τὴν στρατιάν.

50. Τυρταῖος.

Λακεδαιμόνιοι ἡττώμενοι[1] ἐν τῷ πρὸς Μεσσηνίους πολέμῳ πολὺ ἡνιῶντο[2]. Ἐπεὶ οὖν τὰ πάντα μηχανώμενοι οὐδὲν ἤνυον, μετεπέμψαντο παρ' Ἀθηναίων βοήθειαν. Οἱ δὲ τὸν μέγα παρ' αὐτοῖς τιμώμενον καὶ ἀγαπώμενον ποιητὴν Τυρταῖον ἔπεμψαν.

Ὁ δ' εἰς Λακεδαιμόνα ἐλθὼν ἐπειρᾶτο[3] τοὺς στρατιώτας ἐπὶ τὸν πόλεμον ἐπάγειν λέγων αὐτοῖς· « Ἄνδρες στρατιῶται, μὴ ἐν τῷ πολέμῳ ἀνιᾶσθε καὶ δειλιᾶτε· οὐδενὸς τῇ ἀρετῇ ἡττᾶσθε· αἰσχρὸν τὸ ἡττᾶσθαι καὶ πρὸ τῶν πολεμίων φεύγειν. Οὐκ ἀνιᾶσθε ἐπὶ τοῖς καταλελειμμένοις οἴκοι γέρουσι, γυναιξὶ καὶ παισί ; κινδυνεύουσιν οὗτοι ὑπὸ τοῖς πολεμίοις γενέσθαι[4] Χρῆσθε παραδείγμασι τοῖς πατράσιν ὑμῶν. Οὗτοι τὸ πᾶν ἐν τῷ πολέμῳ ἐμηχανῶντο, ὥστε μηδέποτε ἡττᾶσθαι. Ὁρμώμεθα οὖν καὶ ἡμεῖς ἐπὶ τοὺς πολεμίους πιστεύοντες τῇ νίκῃ καὶ πειρώμεθα τούτους νικᾶν. Οὕτω μόνον ἀγαπῴμεθα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἂν καὶ τιμῶμεθα ὑπὸ τῶν πολιτῶν ». Τούτοις τοῖς λόγοις ἔπειθε τοὺς στρατιώτας προθύμως ἐπὶ τὸν πόλεμον ὁρμᾶν.

51. Φάλαρις καὶ Στησίχορος.

Φάλαρις[1] Σικελιώτης σκοπῶν ἐπιχειρεῖν[2] τυραννίδι ἐθεράπευε τὸν δῆμον καὶ αὐτῷ παρήνει[3] ἐπὶ τοὺς δυνατοὺς[4] λέγων· « Ἄνδρες πολῖται, οἱ μὲν δυνατοὶ τῶν πάντων κρατοῦσι καὶ συνεχῶς πλεονεκτοῦσι καὶ τὸν δῆμον ἀδικοῦσιν· ὑμεῖς δ' οὐδὲν σκοπεῖτε, ὅπως[5] τῶν ἀδικιῶν ἀπαλλαγήσεσθε, καρτερεῖτε δὲ ταύτας ὡς δοῦλοι. Ἐὰν ὑπουργῆτε αὐτοῖς καὶ διατελῆτε[6] καρτεροῦντες τὰς τούτων ἀδικίας, κινδυνεύσετε δοῦλοι γενέσθαι ».

Διὰ ταῦτα τὸ πλῆθος ἐφίλει αὐτὸν καὶ αὐτῷ αἰτοῦντι φυλακὴν προθύμως παρεῖχε.

Στησίχορος δ' ὁ ποιητὴς ὑποτοπῶν[7] ἐπιχειρεῖν τὸν Φάλαριν τυραννίδι ἔλεξεν εἰς τὸ πλῆθος· « Ἵππος τις κατεῖχε μόνος λειμῶνα καὶ ἐνέμετο αὐτόν, ἔλαφος δέ τις διέφθειρε τὴν νομήν. Ὁ δ' ἵππος ποθῶν τὴν ἀδικοῦσαν κολάσαι προσέρχεται ἀνθρώπῳ κυνηγῷ καὶ τοῦτον ἠρώτα, πῶς ἂν κρατοίη τῆς ἐλάφου. Ὁ δ' ἔλεξεν· « Ἐὰν βούλῃ κρατεῖν τῆς ἐλάφου, χαλινὸν λαβὲ καὶ δέξαι ἐμὲ ἀναβάτην ». Καὶ ἐγένετο οὕτω. Καὶ ἡ μὲν ἔλαφος τοξευθεῖσα ἀπέθανεν, ὁ δ' ἵππος δοῦλος τοῦ ἀναβάτου ἐγεγόνει. Οὕτω καὶ ὑμεῖς, εἰ βοηθοῖτε, ὅπως ἀπαλλαγείητε τῶν δυνατῶν, κακῶς μὲν ἂν ποιοῖτε[8] αὐτούς, κινδυνεύοιτε δ' ἂν ὅμως ὑπὸ χείρονι κυρίῳ γενέσθαι. Μὴ οὖν προσέχετε τῷ τῶν δυνατῶν κινδύνῳ, ἀλλὰ καρτερεῖτε τοῦτον, ἵνα μὴ εἰς μείζονα κίνδυνον περιπέσητε ». Ἀλλ' οὐδὲν ἔπειθε τοὺς Σικελιώτας. Καὶ μετ' οὐ πολὺ Φάλαρις τύραννος ἐν Σικελίᾳ ἐγένετο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

52. Ὁ βασιλεὺς τῶν Περσῶν περὶ γεωργίας.

Ὁ βασιλεὺς τῶν Περσῶν ἡγεῖτο[1] τὴν γεωργίαν ἐν τοῖς καλλίστοις ἐπιμελήμασιν[2] εἶναι. Διὸ τοῖς ἐπιμελουμένοις αὐτῆς καὶ παρεχομένοις τὴν χώραν πυκνῶς συνοικουμένην παρεῖχε πάντα, ὧν ἐδέοντο[3]. Πρῶτον μέν, διότι οὗτοι μάλιστα ἂν εὐσεβοῖεν τὰ πρὸς τοὺς θεούς· ἐκ γὰρ τῶν γιγνομένων καρπῶν κοσμοῦνται καὶ βωμοὶ καὶ ἀγάλματα καὶ ναοί. Δεύτερον δέ, διότι ἡ γῆ γεωργουμένη ἀμείβει τοὺς γεωργοὺς ἀνδρίζουσα καὶ γυμνάζουσα αὐτούς. Τοὺς δὲ μὴ προθυμουμένους τῶν γεωργῶν ἐτιμωρεῖτο[4] καὶ τὴν χώραν αὐτοὺς ἀφῃρεῖτο[5], ἵνα τοῖς ἐργαζομένοις διανέμοι ταύτην καὶ οὕτω μὴ στεροῖτο ἡ πατρὶς καρπῶν. Ἔλεγε δ' αὐτοῖς· « Ἐὰν ἡ χώρα μὴ γεωργῆται, οὐ μόνον αὕτη, ἀλλὰ καὶ ἡ πατρὶς ἀδικεῖται· ἡ γὰρ ἀργία τὸ ἀπόλεμον παρασκευάζει. Ὅταν δὲ στερώμεθα καρπῶν καὶ ἀπόλεμοι ὦμεν, τότε κακῶς μὲν πάσχει ἡ χώρα, κινδυνεύομεν δὲ πάντες ὑπὸ τοῖς πολεμίοις γενέσθαι· εἰ γὰρ οἱ πολέμιοι ὁρῷεν ἡμᾶς ἀπολέμους, οὐκ ἂν εὐλαβοῖντο[6] τὸν κίνδυνον καὶ προθυμοῖντο ἂν καταστρέψασθαι[7] ἡμᾶς. Ἐπιμελεῖσθε οὖν τῆς γεωργίας, ἵνα καὶ ὑμεῖς εὖ πράττητε καὶ τῇ πατρίδι ὑπουργῆτε »

53. Ἀγησίλαος ἐν Ἀσίᾳ.

Ἀγησίλαος ἠξίου παρὰ τῶν στρατιωτῶν μὴ δῃοῦν[1] μηδ' ἐρημοῦν τὴν Ἀσίαν· ἐγίγνωσκε γὰρ ὅτι, ἐὰν ταύτην δῃῶσι καὶ ἐρημῶσιν, οὐχ ἕξουσι τὰ ἐπιτήδεια. Παρῄνει δὲ πᾶσι βοηθεῖν τοῖς ἀροῦσι[2] τὴν χώραν, ἵνα οὕτω τὴν πρὸς τὴν γεωργίαν ἀγάπην δηλῶσιν. Εἰ δέ τινας ὁρῴη ἀδίκους πρὸς τοὺς γεωργοῦντας, τούτους ἰσχυρῶς ἐζημίου[3]. «Δεῖ »[4], ἔλεγε τοῖς στρατιώταις, « μὴ δουλοῦν, ἀλλ' ἔργῳ ἐλευθεροῦν τοὺς Ἕλ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ληνας· οὕτω γὰρ ἂν βεβαιοῖμεν τὴν πρὸς ἡμᾶς πίστιν τῶν Ἑλλήνων ».

Ἐπεμελεῖτο, δέ, ὅπως καὶ τὰ καταλελειμμένα παιδία συσκηνοῖεν, τοὺς δὲ γέροντας αἰχμαλώτους τιμῆς ἠξίου, ὥστε οἱ μανθάνοντες τοῦτο εὐμενεῖς αὐτῷ ἦσαν. Οὕτω κατώρθου ἄρχειν ἐν Ἀσίᾳ δι' ἀγάπης μᾶλλον ἢ διὰ φόβου.

54. Λόγοι Ξενοφῶντος.

Τοῖς Ἕλλησι Ξενοφῶν ἀνακοινοῦται[1] τάδε. « Ἄνδρες, ὅτε οἱ ἡμέτεροι στρατηγοὶ ἔζων, οἱ βάρβαροι ἐθυμοῦντο[2] μὲν ἡμῖν, ὅτι ἐκαρπούμεθα τὴν ἐκείνων χώραν, οὐδεὶς δ' ἐτόλμα ἐναντιοῦσθαι ἡμῖν· ἠξίουν γὰρ ἡμεροῦν ἡμᾶς, ἵνα ἡ χώρα αὐτῶν μὴ δηοῖτο. Παντὶ δὲ τρόπῳ ἐδήλουν τοῦτο. Ἐπεὶ δ' οἱ στρατηγοὶ ἀπέθανον δόλῳ, ἀξιοῦσι ταπεινοῦν καὶ χειροῦσθαι[3] ἡμᾶς. Διὸ κυσὶν ὁμοιούμενοι ἐπακολουθοῦσιν ἡμῖν δηλοῦντες ὅτι καιρὸν ἀναμένουσιν, ἵνα ἡμῖν ἐπιπέσωσιν. Ἡμεῖς δ' αἰσθανόμενοι ταῦτα ἀντιφυλαττόμεθα καὶ ἄγομεν διὰ πολεμίας καρπούμενοι τῶν ἐκ τῆς χώρας. Ἵνα δὲ ἀσφαλέστατα πορευώμεθα, ἐλευθερώμεθα τῶν σκευοφόρων πρῶτον καὶ πλαίσιον[4] τῶν ὁπλιτῶν ποιώμεθα· εἶτα δέ, εἰ γεφυροῖμεν τὸν πρὸ ἡμῶν ποταμὸν φοίνιξιν, περαιοίμεθα ἂν ῥᾳδίως εἰς τὴν ἔναντι χώραν, ἣ ἐπιτηδείων πληροῦται. Ἐνταῦθα, ἐὰν χειρώμεθα τοὺς οἰκοῦντας καὶ δηῶμεν τοὺς ἀγρούς, ἕξομεν ἱκανὰ τὰ ἐπιτήδεια. Κληρῶμεν[5] οὖν τοὺς νῦν στρατηγοὺς καὶ τούτοις ἑπώμεθα. Ὑμεῖς δ' οἱ στρατιῶται ἔργῳ βεβαιοῦτε καὶ δηλοῦτε τὴν πρὸς αὐτοὺς εὐπείθειαν. Ἐὰν δέ τις ἀπειθῇ, ζημιούσθω αὐστηρῶς ».

Ταῦτα εἶπεν. Οἱ δὲ στρατιῶται ἐπεκύρουν τοὺς λόγους, καὶ ἐποίουν οὕτω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

55. Πλάτων.

Πλάτων[1] ὁ σοφὸς ἐν Ὀλυμπίᾳ ἀπαντήσας ἀνθρώποις ἀγνῶσι[2] συνεσκήνωσε μετ' αὐτῶν ἀγνὼς καὶ αὐτὸς ὢν αὐτοῖς. Ἐρωτηθεὶς δὲ περὶ τοῦ ὀνόματος τοῦτο μόνον ἐδήλωσεν ὅτι Πλάτων καλεῖται.

Ἅπαντα δὲ τὸν ἐν Ὀλυμπίᾳ χρόνον οὕτως ἐχειρώσατο αὐτοὺς τῇ συνουσίᾳ[3], ὥστε φίλους τούτους ἐκτήσατο καὶ μέγα ὑπ' αὐτῶν ἠγαπήθη.

Ἐπεὶ δ' ἔμελλον οἴκαδε ἀναχωρήσειν, εἶπον αὐτῷ· « Σύ, ὦ Πλάτων, εὐεργέτηκας ἡμᾶς τῇ σῇ συνουσίᾳ· διὰ ταῦτα χάριν σοι ἔχομεν. Ἡμεῖς δὲ ὡς εὐεργετημένοι μάλιστα τετιμήκαμέν σε καὶ ἠγαπήκαμεν. Ἐὰν εἰς τὴν ἡμετέραν πατρίδα ἔλθῃς, ἔργῳ δηλώσομεν τὴν πρός σε ἀγάπην ».

Πλάτων δ' εἶπεν· « Καὶ ἐγὼ ὁμοίως ὑμᾶς ἠγάπησα· πολλῆς γὰρ τιμῆς ἠξιώθην ὑφ' ὑμῶν. Διό, ἐὰν Ἀθήναζε ἔλθητε, περὶ πολλοῦ ὑμᾶς ποιήσομαι[4] καὶ ἐν παντὶ ὑμῖν βοηθήσω ».

Μετ' οὐ πολὺ οὗτοι εἰς Ἀθήνας ἦλθον καὶ ὁ Πλάτων μάλα φιλοφρόνως αὐτοὺς ὑπεδέξατο. Οἱ δ' εἶπον· « Σὺ μὲν περὶ πλείστου ἡμᾶς ἐποιήσω· καὶ γὰρ ἐν Ὀλυμπίᾳ ὑπὸ σοῦ εὐεργετήθημεν καὶ ἐνταῦθα ἐν πολλοῖς ἐβοήθησας. Νῦν δ' ἤγησαι[5] ἡμῖν εἰς Ἀκαδήμειαν[6] τοῦ ὁμωνύμου, ἵνα καὶ αὐτοῦ ἀπολαύσωμεν ». Ὁ δὲ μειδιῶν εἶπεν· « Ἐγώ εἰμι ἐκεῖνος ».

Οἱ δ' ἀκούσαντες ἐξεπλάγησαν μὲν καὶ ἐλυπήθησαν, ὅτι τοιοῦτον ἄνδρα ἠγνόησαν, ἐζήλωσαν δὲ τοῦ ἀνδρὸς τὴν ἁπλότητα· τῷ γὰρ τρόπῳ καὶ ἐν Ὀλυμπίᾳ καὶ ἐν Ἀθήναις ἐδεδηλώκει αὐτοῖς ὅτι καὶ ἄνευ τῶν λόγων οἷός τ' ἐστὶ χειροῦσθαι τοὺς συνόντας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

56. Ἔλαφος καὶ ἁλιεύς.

Ἔλαφος ὑπὸ κυνηγῶν ἐδιώκετο. Φεύγουσα οὖν ἔθει[1] σπουδῇ διὰ τοῦ πεδίου καὶ τῇ τῶν ποδῶν ταχυτῆτι εἰς τὸ ἄκρον αὐτοῦ ἀφίκετο, ἔνθα ποταμὸς ἔρρει. Ἐν αὐτῷ δ' ἐπὶ νεὼς ἄνθρωπος ἔπλει, ὃς ταῖς χερσὶν ἔνευε πρὸς αὐτήν. Ὡς τοῦτον ἡ ἔλαφος ἐθεάσατο, ἐδεῖτο αὐτοῦ κατακρύψαι αὐτὴν παντὶ τρόπῳ. Ὁ δὲ τοῖς λόγοις πείθει αὐτὴν εἰσελθεῖν εἰς σπήλαιον, ἕως ἂν ἴδωσι, τί οἱ κυνηγοὶ δράσουσιν.

Οἱ μὲν μάτην πειραθέντες[2] ἐν τῷ πεδίῳ θηρᾶσαι τὴν ἔλαφον καὶ τῷ πόνῳ ταλαιπωρηθέντες παρεγένοντο εἰς τὸν ποταμὸν καὶ τὸν ἄνθρωπον ἠρώτησαν, εἰ ἔλαφον τεθέαται παρελθοῦσαν ἐκεῖθεν.

Ὁ δὲ αἰδεσθεὶς[3] τὴν προτέραν πρὸς τὴν ἔλαφον ὁμολογίαν τῇ μὲν φωνῇ ἠρνεῖτο αὐτὴν θεάσασθαι, τῇ δὲ χειρὶ ἔνευεν, ὅπου ἐκέκρυπτο. Οἱ δὲ κυνηγοὶ πιστεύσαντες τοῖς λόγοις τούτου καὶ μάτην πειραθέντες ἀνευρεῖν εἴασαν[4] τὸ θήραμα καὶ ἀπῆλθον.

Ὁ δὲ παρεκάλεσε τότε τὴν ἔλαφον γεγωνυίᾳ τῇ φωνῇ ἐξελθεῖν ἐκ τοῦ σπηλαίου· οὐδεὶς γὰρ κίνδυνος ἦν αὐτῇ.

Ἡ ἔλαφος ἐξελθοῦσα ἀπροσφωνητὶ[5] ἀπηλλάττετο. Ὁ δ' ἠτιάσατο τότε αὐτὴν λέγων· «Ὦ ἔλαφος, ἐγὼ μὲν ἤρκεσά[6] σοι, ὥστε σωθῆναι, σὺ δὲ νῦν φεύγεις οὐδὲ φωνῆς ἀξιοῦσά με;» Ἡ δ' ὑπολαβοῦσα[7] — εἶδε γάρ, ἃ τῇ χειρὶ ἔνευε τοῖς κυνηγοῖς καὶ ἠκροάσατο, ἃ ἔλεγεν αὐτοῖς — εἶπεν· «Ὦ φίλε, ἀλλ' ἐγὼ ηὐχαρίστησα ἄν[8] σοι καὶ ἐπῄνεσα τὴν προθυμίαν, εἰ μὴ μόνον τῷ λόγῳ ἀλλὰ καὶ ἔργῳ ἐβοήθησάς μοι».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

57. Πολιτεία Πεισιστράτου.

Πεισίστρατος[1], ὅτε ἐγκρατὴς[2] τῆς ἀρχῆς ἐγένετο, μετεπέμψατο εἰς Ἀθήνας τοὺς ἀγρότας καὶ ἐν ἀγορᾷ τάδε πρὸς τούτους ἔλεξεν· « Ἄνδρες πολῖται, καθ' ἡμέραν εἰς τὴν ἐκκλησίαν[3] ἐρχόμενοι ἀλλήλοις μάχεσθε καὶ οὐδὲν ὑμᾶς αὐτοὺς ὠφελεῖτε. Διαλύσαντες τὰς πρὸς ἀλλήλους ἔχθρας διαλλάξασθε[4] ἀλλήλοις καὶ παύσασθε ἐρχόμενοι εἰς Ἀθήνας. Ἕκαστος παρεχέτω ἑαυτὸν ἐν τοῖς ἀγροῖς δίκαιον τοῖς ἄλλοις. Μηδέποτε δ' ἄεργοι μένετε· οἱ γὰρ ἄεργοι ἐχθροὶ ἑαυτοῖς εἰσι καὶ δούλους τῶν παθῶν ἑαυτοὺς ποιοῦσιν. Ἐγὼ δὲ φιλῶν ὑμᾶς ὡς ἐμαυτὸν ἐπιμελήσομαι ὑμῶν βέλτιον ἢ ὑμεῖς ὑμῶν αὐτῶν. Κηδόμενος γὰρ ὑμῶν κήδομαι ἐμαυτοῦ. Οὕτω δὲ φίλον ὑμῖν καὶ τῇ πατρίδι ποιήσω ἐμαυτόν, ὥστε οὐδὲν ὑμᾶς ἐπιλείψει· εἰ δ' ἀπορήσετε[5] σπερμάτων, εὐθὺς ταῦτα ἕξετε παρ' ἐμοῦ ».

Οἱ ἀγρόται ἀκούσαντες ταῦτα ἥσθησαν καὶ εἶπον· « Ἐπειδὴ καὶ ἡμεῖς κηδόμεθα ἡμῶν αὐτῶν, πεισόμεθά σοι. Ἐὰν σὺ φιλῇς ἡμᾶς καὶ δίκαιον σαυτὸν παρέχῃς, χάριν σοι ἕξομεν[6]. Οὕτω πράττων σαυτῷ ὑπουργεῖς· εὐχόμεθα δὲ τῷ θεῷ συμπρᾶξαί[7] σοι ».

Ἐκ τούτου οἱ μὲν ἀγρόται ἐν τοῖς ἀγροῖς διέτριβον[8], Πεισίστρατος δὲ διῴκησε τὰς Ἀθήνας σωφρόνως καὶ συμφερόντως[9] ἑαυτῷ τε καὶ τοῖς πολίταις.

58. Σωκράτης πρὸς Λαμπροκλέα.

Σωκράτης αἰσθόμενός ποτε Λαμπροκλέα[1] χαλεπαίνοντα[2] πρὸς τοὺς γονέας εἶπεν αὐτῷ· « Γιγνώσκεις ἆρά γε, ὦ παῖ, ὅτι τῶν ἀνθρώπων ἔνιοι ἀχάριστοι καλοῦνται ; τί δὲ ποιοῦντες οὗτοι τὸ ὄνομα τοῦτο ἔχουσιν ; » « Ὅτι πολλὰ ἄλλα εὖ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παθόντες[3] », ἔφη, « οὐδεμίαν χάριν ἔχουσι[4] τοῖς εὐεργετήσασιν ». « Ἀλλὰ σκεψώμεθα », ἔφη Σωκράτης, « τίνας ἄλλους ἂν ὑπὸ τίνων εὕροιμεν εὐηργετημένους ἢ παῖδας ὑπὸ γονέων ; ποῖα δὲ καὶ πόσα ἐστὶ τὰ ὑπ' αὐτῶν τοῖς υἱοῖς παρεχόμενα ἀγαθά ; πηλίκους[5] δὲ πόνους πονοῦσι χάριν αὐτῶν ; ὑπὸ ποίας δέ τινος ἀνάγκης ταῦτα πάντα πράττουσι ; πότερον[6], ὡς εὖ παθόντες ποτὲ ὑπὸ τῶν υἱῶν ἢ ὡς μέλλοντες χάριν παρ' αὐτῶν ἀπολήψεσθαι ; τίσιν οὖν ἄλλοις ἢ τοῖς υἱοῖς προσήκει σέβεσθαι τοὺς γονέας ; Ἐγὼ μέν, ὦ παῖ, λογίζομαι ὅτι ἀμφότεροι μὲν οἱ γονεῖς πονοῦσι δι' ὅλης τῆς ἡμέρας, ἑκάτερος[7] δέ, ἐὰν ἄττα ἐλλείπῃ τοὺς υἱούς, ἐπιμελεῖται, ὅπως ὡς[8] πλεῖστα ἀγαθὰ αὐτοῖς παρασκευάσει· καὶ ὁ μὲν πατὴρ τῶν ἔξω τοῦ οἴκου ἐπιμελεῖται, ἡ δὲ μήτηρ τὰ ἐν τῷ οἴκῳ διοικεῖ· οὐδέτερος δὲ χαλεπαίνει ἐπὶ τοῖς τοιούτοις πόνοις· ἢ οὐκ ἀληθῆ ταῦτά ἐστι ; Λαμπροκλῆς δ' ἔφη· « Καὶ ταῦτα καὶ ἄλλα πολλαπλασίονα ποιοῦσιν οἱ γονεῖς· οὐδενὸς δ' ἀπέχουσιν, ἵνα ἕκαστος τῶν υἱῶν πλεῖστα τὰ ἀγαθὰ ἔχῃ· γιγνώσκω δ' ἔτι ὅτι οἱ γονεῖς καὶ τὴν ζωὴν θύουσιν ὑπὲρ τῶν τέκνων. ». Καὶ ὁ Σωκράτης ἔφη· « Ἐὰν οὖν, ὦ παῖ, σωφρονῇς, μηδὲν παύου τιμῶν τοὺς γονέας, ἵνα μὴ ἀχάριστος γένῃ. Εἰ γὰρ ὑπολάβοιέν[9] σε ἀχάριστον περὶ τοὺς γονέας εἶναι, οὐδεὶς ἂν νομίσειέ σε ἀγαθὸν πολίτην ἔσεσθαι ».

59. Φαλῖνος[1] καὶ Κλέαρχος[2].

Ἦν περὶ πλήθουσαν[3] ἀγορὰν καὶ ἔρχονται παρὰ βασιλέως πρέσβεις, ὧν εἷς Φαλῖνος Ἕλλην, ὃς ἐτύγχανε[4] παρὰ Τισσαφέρνους τιμώμενος. Οὗτος παρεκελεύετο[5] τοῖς Ἕλλησι παραδοῦναι τὰ ὅπλα βασιλεῖ. Πρὸς τοῦτον Κλέαρχος ἀποκρίνεται· « Ὦ Φαλῖνε, ἐγὼ ἄσμενος[7] ἑώρακά σε· σύ τε γὰρ Ἕλλην εἶ καὶ ἡμεῖς τοσοῦτοι, οὓς σὺ ὁρᾷς. Συμβούλευσον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὖν ὑμῖν ὅ,τι σοι δοκεῖ ἄριστον εἶναι καὶ ὃ τιμήν σοι οἴσει ἐν τῷ μέλλοντι· γιγνώσκεις γὰρ ὅτι ἀνάγκη λέγεσθαι, ἃ ἂν ἡμῖν συμβουλεύσῃς. Ἡμεῖς, ὡς γιγνώσκεις, τὸν ἀγῶνα τοῦτον οὐκ ἀνειλόμεθα[8] διὰ φιλονεικίαν, ἀλλὰ διότι ἐβουλόμεθα[9] χαρίζεσθαι[10] Κύρῳ, ἀνθ' ὧν ὑπ' αὐτοῦ εὖ ἐπάθομεν. Νῦν δ' ἐπεὶ Κῦρος τέθνηκεν, ἐν τοιούτοις πράγμασίν[11] ἐσμεν, ἐν οἵοις οὐδεπώποτε[12] γέγονε τῶν Ἑλλήνων τις· ἠναγκάσμεθα γὰρ ἀγωνίζεσθαι τηλικοῦτον[13] ἀγῶνα, ἡλίκος οὐδεπώποτε γέγονε τοῖς Ἕλλησιν, ἐξ οὗ μεμνήμεθα[14]. Κινδυνεύομεν δὲ παθεῖν, οἷα[15] οὐδέποτε μέχρι σήμερον ἐπάθομεν. Χάριν οὖν ἕξομεν, ὥτινι συμβουλεύσει ἡμῖν τὰ ἄριστα ». Φαλῖνος δ' ἀκούσας εἶπεν· « Ἐμοὶ μὲν δοκεῖ ποιεῖν ὑμᾶς, ἃ συμφέρει. Εἰ μὲν γάρ ἐστι[16] σωθῆναι ὑμᾶς ἑνὶ ᾧτινι δήποτε τρόπῳ, πειρᾶσθε σῴζεσθαι, εἰ δὲ μή, φίλοι τῷ βασιλεῖ γίγνεσθε. Ἡγοῦμαι[17] μέντοι ἄκοντος βασιλέως οὐχ οἷόν τ' εἶναι[18] ὑμᾶς σωθῆναι ». Κλέαρχος δ' ἀποκρίνεται· « Ὁπότερον[19] μὲν ποιήσομεν, βουλευσόμεθα· νῦν δ' ἀπάγγελλε τῷ βασιλεῖ ὅτι οὐδὲν αὐτῷ ἐπιβουλευόμεθα ». Ὅ,τι δὲ ποιήσοι, οὐκ ἐδήλωσε.

60. Ἡ Ἀττική.

Ἡ γῆ τῆς Ἀττικῆς πάντοθεν[1] μὲν ὑπὸ θαλάττης περιβάλλεται, ἀπὸ βορρᾶ δὲ μετὰ τῆς Βοιωτίας συνέχεται[2]. Ἀεὶ μὲν τῆς Ἀττικῆς γῆς τὸ κλῖμα εὐκραές ἐστι, μάλιστα δ' ὁπότε βορρᾶς πνεῖ. Πολλοὶ τῶν κατοίκων τῆς Ἀττικῆς γεωργοί εἰσι καὶ τὴν γῆν γεωργοῦσιν. Οἰκοῦσι δ' ἐν κώμαις καλαῖς καὶ ἄφθονα τὰ ἐπιτήδεια ἐχούσαις, χρῶνται[3] δὲ κόσμῳ τῶν οἰκιῶν ταῖς ἀλωπεκαῖς[4]. Ἔχει δ' ἡ Ἀττικὴ καὶ δένδρα ἄφθονα, μάλιστα δ' ἐλαίας, ἀμυγδαλᾶς καὶ συκᾶς, αἳ ἀφθόνους καρπούς παρέχουσι. Καὶ πάλαι δ' ἡ γῆ τῆς Ἀττικῆς πλείστας προσόδους παρεῖχε· σπειρομένη γὰρ ἔφερε καρπούς, ὀρυσσο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μένη[5] δὲ λίθον. Ηὐδοκίμουν δ' ἐν τῇ γῇ καὶ ἐλαῖαι καὶ ἀμυγδαλαῖ καὶ συκαῖ. Ἐκ δὲ τοῦ λίθου κάλλιστοι μὲν ναοί, κάλλιστοι δὲ βωμοί, εὐπρεπέστατα δ' ἀγάλματα τοῖς θεοῖς ἐγίγνοντο. Ἱερὸν δὲ μέγιστον τῇ Ἀθήνᾳ ἵδρυτο[6], ὁ ἐπὶ τῆς Ἀκροπόλεως ναὸς τῆς Ἀθηνᾶς, ὁ καλούμενος Παρθενών.

Ὁμοίως δ' ἐκ τοῦ αὐτοῦ λίθου καὶ τοῦ Ἑρμοῦ εἰκόνες[7] ἐγίγνοντο, Ἑρμαῖ καλούμεναι· τὸν γὰρ Ἑρμῆν πολὺ ἐτίμων οἱ Ἀθηναῖοι. Ἵδρυον δὲ τοὺς Ἑρμᾶς πολλαχοῦ τῆς Ἀττικῆς γῆς καὶ ποικίλας συμβουλὰς ἐν αὐτοῖς ἀνέγραφον. Καὶ στοὰ δὲ τοῦ Ἑρμοῦ ἐν Ἀθήναις ἦν.

61. Ἀλέξανδρος πρὸς τοὺς αἰχμαλώτους οἰκείους τοῦ Δαρείου.

Ὅτε Ἀλέξανδρος[1] τὴν Δαρείου σκηνὴν εἷλε[2], πάμπολλα λάφυρα ἔλαβεν· ἦσαν γὰρ ἐν αὐτῇ θώρακες[3], οἱ μὲν λινοῖ, οἱ δὲ σιδηροῖ, πολλῷ χαλκῷ κόσμῳ κεκοσμημένοι, καὶ κράνη[3] χαλκᾶ καὶ χιτῶνες[3] φοινικοῖ. Πολλοῖς δὲ ξίφεσι χαλκοῖς ἐπέτυχεν[4], ἃ χρυσοῖς καὶ ἀργυροῖς ἥλοις[5] ἐκεκόσμητο. Ἔτι δὲ κνημῖδες λιναῖ καὶ χαλκαῖ εὑρέθησαν, καλὰ δὲ τόξα καὶ βέλη ἐνῆσαν, ἃ ἐξ ὀστῶν ἐπεποίητο. Ἦν δ' ἡ σκηνὴ πλήρης καὶ σκευῶν χαλκῶν ἢ κεραμῶν[6], ἐν οἷς νομίσματα χρυσᾶ ἀργυρᾶ καὶ χαλκᾶ ὁ βασιλεὺς ἐφύλαττεν. Ἐν δὲ τοῖς χρυσοῖς κανοῖς[7] πολλὰ ψέλια[8] χρυσᾶ καὶ ἀργυρᾶ ἐνῆσαν, οἷς πᾶσιν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐχρῶντο αἱ τῶν Περσῶν γυναῖκες. Ἐλήφθησαν δὲ καὶ αἱ Δαρείου γυναῖκες σύν τε τοῖς χρυσοῖς καὶ ἀργυροῖς κόσμοις, οὓς ἔφερον. Πρὸς ταύτας Ἀλέξανδρος λέγει· « Ἡσυχεῖτε καὶ μηδὲν φοβεῖσθε· ἐγώ τε γὰρ αὐτὸς καὶ ἅπαντες οἱ Μακεδόνες εὔνοι[9] ὑμῖν ἔσονται· λέξατε οὖν ἐμοί, τί βούλεσθε καὶ τί ἐν νῷ ἔχετε ». Αἱ δ' ἀπεκρίναντο· « Χάριν σοι ἔχομεν, ὅτι ἐνετύχομεν πᾶσιν ὑμῖν εὔνοις· ἐν γὰρ ταῖς ἀτυχίαις οὐδὲν κρεῖττον φίλου εὔνου. Δεόμεθα δ' ὑμῶν γενέσθαι εὔνους καὶ τοῖς αἰχμαλώτοις ». Ἐκ τούτου Ἀλέξανδρος προσέταττε τοῖς στρατιώταις προσέχειν τὸν νοῦν, ἵνα μή τι κακὸν τοῖς αἰχμαλώτοις γένηται.

62. Φιλάργυρος.

Φιλάργυρος, ἐπεὶ ἐν ξένῃ γῇ πολλὰ ἔτη εἴργαστο, οὐσίαν πολλὴν ἐκέκτητο[1]. Ἐληλυθὼς δ' οἴκαδε τὸ μὲν πρῶτον ἐώρταζε τὴν ἐπάνοδον. Ἐπεὶ δ' ἑώρα πολλοὺς πειρωμένους κοινωνοὺς[3] τῆς οὐσίας γενέσθαι, ἡσυχίαν οὐκ εἶχεν· ὁ γὰρ κίνδυνος τῆς οὐσίας οὐκ εἴα[3] αὐτὸν καθεύδειν. Ποιεῖται οὖν τὴν οὐσίαν χρυσοῦν βῶλον καὶ ὠνεῖται[4] ἀγρόν, ἐν ᾧ τάφρον ἀνέῳξε καὶ ἐν ταύτῃ τὸ χρυσίον κατώρυξε. Καθ' ἑκάστην δ' ἐπεσκοπεῖτο[5] τὸν κατορωρυγμένον χρυσόν. Ἡμέραν τινὰ δ' ὅμως ἐπέσπετό[6] τις αὐτῷ καὶ ὑποπτεύσας τὸν φιλάργυρον χρυσίον κατορωρυχέναι ἦλθε νυκτὸς καὶ ἀφείλετο τοῦτο. Τῇ δ' ὑστεραίᾳ ἐλθὼν ὁ φιλάργυρος καὶ ἰδὼν τὴν τάφρον ἀνεῳγμένην καὶ ἀπολωλότα[7] τὸν χρυσὸν ὠδύρετο, ὅτι ἐξελήλεγκτο[8] ἀνόητος ὤν. Ἰδὼν δέ τις αὐτὸν καὶ πυθόμενος τὴν αἰτίαν λέγει αὐτῷ. « Μὴ ἀθύμει[9]· ὁ χρυσός, ὃν ἐκ τῆς ξένης ἐνηνόχεις καὶ ἐν τῇ τάφρῳ κατωρωρύχεις, οὐδενὸς ἄξιός ἐστι· τὸ γὰρ κατορωρυγμένον χρυσίον ἀπολωλός σοι ἦν· οὐδὲν τοίνυν ἀπολώλεκας. Λίθον λαβὼν κατόρυξον καὶ ἀντὶ τοῦ χρυσίου ἕξεις ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

63. Φρῖξος καὶ Ἕλλη.

Ἀθάμας δυναστεύων Βοιωτίας ἐκ Νεφέλης τεκνοῖ παῖδα μὲν Φρῖξον, θυγατέρα δ' Ἕλλην. Διέφερον δὲ κάλλει τε καὶ ψυχῇ πάντων τῶν ἐν Βοιωτίᾳ παίδων.

Ἐπεὶ δὲ Νεφέλη ἐτελεύτησεν, Ἀθάμας λαμβάνει γυναῖκα Ἰνώ. Ἡ δὲ τοῖς παισὶν ἐπιβουλεύουσα παραγγέλλει ταῖς γυναιξὶ τὸν πυρὸν[1] φρύγειν[2]· αἱ δὲ τὸ παραγγελλόμενον κρύφα τῶν ἀνδρῶν πράττουσιν. Ἐπεὶ οὖν ὁ σῖτος πεφρυγμένος



ἐσπείρετο, ἡ γῆ καρπούς ἐτησίους οὐκ ἔφερε. Πᾶσα ἡ χώρα διὰ τοῦτο ὑπὸ λιμοῦ ἐκινδύνευε φθείρεσθαι.

Ἀθάμας δ' οἰκτίρων τοὺς κατοίκους ἔπεμπεν εἰς Δελφοὺς καὶ ἀπαλλαγὴν τῆς ἀφορίας ἐπυνθάνετο. Ἰνὼ δὲ τοῖς πεμφθεῖσιν ἐντέλλεται σημαίνειν τῷ Ἀθάμαντι, ὡς κεχρησμένον εἴη[3] παύσεσθαι τὴν ἀκαρπίαν, ἐὰν Φρῖξος σφαγῇ. Ἀκούων τοῦτο Ἀθάμας καὶ οὐ κρίνων δίκαιον ἔπεμπεν ἐκ δευτέρου εἰς μαντεῖον τοὺς πρέσβεις· ἐνόμιζε γὰρ τὸν θεὸν σφάλλε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθαι[4]. Καὶ τούτους δ' ὅμως Ἰνὼ ἔπειθεν ἀγγέλλειν ὡς θεὸς τὰ αὐτὰ ἐντέλλοιτο.

Ἐν ᾧ δ' ἔμελλε Φρῖξον θύσειν, Νεφέλη ἡ μήτηρ ἁρπάζει τοῦτον μετὰ τῆς ἀδελφῆς καὶ προσφέρει αὐτοῖς χρυσόμαλλον κριόν, ἐφ' οὗ φερόμενοι δι' οὐρανοῦ ὑπερβαίνουσι θάλατταν. Ὡς δ' ἐγένοντο κατὰ τὴν μεταξὺ χερσονήσου καὶ Σιγείου ἐκτεινομένην θάλατταν, ὀλισθαίνει ἡ Ἕλλη εἰς τὸν Πόντον τὸν ἀπ' ἐκείνης Ἑλλήσποντον καλούμενον.

Φρῖξος δ' εἰς Κόλχους[5] καταφέρεται[6] καὶ ἐνταῦθα τὸν μὲν κριὸν θύει, τὸ δὲ δέρμα τῷ βασιλεῖ Αἰήτῃ προσφέρει δῶρον. Ὁ δὲ τοῦτο ἐκτείνει περὶ δρῦν ἐν τῷ ἄλσει τοῦ Ἄρεως καὶ ἐνταῦθα ἐφρουρεῖτο τὸ δέρμα ὑπὸ δράκοντος ἀύπνου.

64. Μαρδόνιος πρὸς Ἀθηναίους.

Μαρδόνιος μέλλων ἐκ Θετταλίας ἐμβαλεῖν εἰς τὴν Ἑλλάδα ἔπεμψεν Ἀθηναίοις πρέσβεις ἀγγελοῦντας τοῦτο.

Οὗτοι παραγενόμενοι εἰς τὴν ἐκκλησίαν τοῦ δήμου εἶπον· « Ἄνδρες Ἀθηναῖοι, Μαρδόνιος ὑπισχνεῖται ὑμῖν ἀνοικοδομήσειν τὰ τείχη καὶ τὰ ἱερὰ καὶ τὴν πόλιν καὶ κυρίους τῆς Ἑλλάδος ποιήσειν ὑμᾶς, εἰ μὴ ἀμυνεῖσθε[1] αὐτόν· εἰ δὲ μή, ἐμβαλεῖ εἰς τὴν Ἀττικὴν καὶ φθερεῖ αὐτὴν πρῶτον. Τί ἀποκρινεῖσθε αὐτῷ ; »

Τοῖς δ' Ἀθηναίοις μέλλουσιν ἀποκρινεῖσθαι οἱ παρόντες Λακεδαιμόνιοι εἶπον· « Καὶ ἡμεῖς ἥκομεν, ὦ Ἀθηναῖοι, σημανοῦντες[2] τὰ ὑπὸ τῆς πόλεως παραγγελλόμενα. Πρὸς θεῶν[3], μὴ πείθεσθε τοῖς τούτων λόγοις· Εἰ ἐμμενεῖτε[4] τῇ Ἑλλήνων συμμαχίᾳ, ἀπὸ κοινοῦ ἀμυνούμεθα τοὺς πολεμίους, ὡς πέρυσι, καὶ ἐλευθέραν τὴν Ἑλλάδα ποιήσομεν. Ὁρᾶτε[5], ὅπως ἀποκρινεῖσθε τῷ Μαρδονίῳ, ὡς προσήκει τοῖς Ἕλλησιν ».

Οἱ δ' Ἀθηναῖοι Μαρδονίῳ μὲν λέγουσιν ὅτι, ἕως ἂν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν πορεύηται, οὐδέποτε καταλείψουσι τοὺς Ἕλληνας, ἀλλ' ἀμυνοῦνται αὐτὸν πάσῃ δυνάμει, πρὸς δὲ τοὺς Λακεδαιμονίους ὅτι ἐμμενοῦσι τῇ συμμαχίᾳ καὶ οὐδέποτε ἐπιτρέψουσι τὴν Ἑλλάδα ὑπὸ τοῖς πολεμίοις γενέσθαι.

65. Φαβρίκιος ὕπατος Ῥωμαίων.

Πύρρος ὁ βασιλεὺς τῆς Ἠπείρου ἄγων στρατὸν πολὺν καὶ ἀγείρας[1] τοὺς τῆς κάτω Ἰταλίας Ἕλληνας πόλεμον τοῖς Ῥωμαίοις ἐξέφηνε[2]. Νικήσας δ' αὐτοὺς καὶ πολὺ τοῦ στρατεύματος ἀποκτείνας πρὸς τὴν Ῥώμην ἦγε.

Διὸ οἱ Ῥωμαῖοι δυσχεράναντες[3] πρὸς τὴν ἀτυχίαν Φαβρίκιον ὕπατον εἵλοντο, ἵνα τὸν πολέμιον ἀμύνηται καὶ ἐνετείλαντο αὐτῷ ἀπαλλάξαι τὴν Ἰταλίαν τοῦ κινδύνου. Παραλαβόντι δὲ Φαβρικίῳ τὴν ἀρχὴν οἱ φρουροὶ ἀνήγγειλαν ὅτι ἀνήρ τις αὐτῷ ἐπιστολὴν κεκομικὼς εἴη. Ἐν ταύτῃ ὁ ἰατρὸς τοῦ Πύρρου ἔλεγεν ὅτι ἀποκτείναι ἂν αὐτόν, εἰ οἱ Ῥωμαῖοι ἐπαγγείλαιντο αὐτῷ χάριν λύσαντι τὸν πόλεμον. Ὁ δὲ δυσχεράνας πρὸς τὴν ἀδικίαν καὶ ἐντειλάμενος ἀποπέμψαι τὸν ἄνδρα ἔστειλε Πύρρῳ γράμματα[4] σὺν τῇ πεμφθείσῃ ἐπιστολῇ.

Ἔλεγε δὲ τὰ γράμματα· « Γάιος Φαβρίκιος, ὕπατος Ῥωμαίων, Πύρρῳ βασιλεῖ χαίρειν[5]. Χαλεπήνας τῇ ἐπιβουλῇ ἀνακοινῶ σοι ὅτι οὐκ εὐτυχεῖς φίλων. Τοῦτο δὲ πράττω, ἵνα μὴ τὸ σὸν πάθος διαβάλῃ ἡμᾶς καὶ δόξωμεν μολῦναι δόλῳ τὸν πόλεμον ».

66. Ἀγησίλαος καὶ Φαρνάβαζος.

Ἀγησίλαος καὶ οἱ περὶ αὐτὸν περιβληθέντες τὸν χιτῶνα ἦλθον εἰς τὸ ὡμολογημένον χωρίον. Ἐνταῦθα Ἀγησίλαος λέγει· « Ἐκταθῶμεν, ὦ φίλοι, χαμαὶ ἐν τῇ πόᾳ[1] καὶ ἀναμεί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νωμεν Φαρνάβαζον, ἕως ἂν ὑπὸ τῶν κηρύκων ἀγγελθῇ ». Οὕτω δὲ ἐκταθέντες ἐν τῇ πόᾳ ἀνέμενον.

Ὡς δὲ Φαρνάβαζος ἐφάνη σὺν τοῖς περὶ αὐτόν, ὑπεγερθέντες ἐκαθέζοντο. Ὁ δ' ἔχων στολὴν πολλοῦ ἀξίαν τὸ μὲν πρῶτον ᾐσχύνθη ὁρῶν τὴν Ἀγησιλάου φαυλότητα[2]. Ἐπιμελούμενος δ' ὅπως οἱ Πέρσαι μὴ φανήσονται χείρους τῶν πολεμίων, λέγει αὐτοῖς. « Κατακλιθῶμεν καὶ ἡμεῖς, ὥσπερ καὶ οἱ Ἕλληνες, ἵνα μὴ χείρους αὐτῶν φανῶμεν ».

Ἐπεὶ δὲ κατεκλίθησαν, Φαρνάβαζος ἤρξατο. « Ὦ Ἀγησίλαε, ἐγὼ ἐν τῷ πρὸς Τισσαφέρνη πολέμῳ προθύμως ἐβοήθουν ὑμῖν καὶ φίλος ἐγενόμην. Νῦν δ' ὁρῶ ὅτι οἱ μὲν σπαρέντες ὑπὸ τῶν γεωργῶν ἀγροὶ κινδυνεύουσι φθαρῆναι, ἐγὼ δ' οὐδὲ δεῖπνον ἐν τῇ ἐμαυτοῦ χώρᾳ ἔχω. Εἰ οὖν ταῦτα ἀπαγγελθήσεται βασιλεῖ, ἐκβληθήσομαι τῆς ἀρχῆς καὶ κινδυνεύσω εἰς τὴν ἐσχάτην τύχην περιελθεῖν ».

Πρὸς ταῦτα Ἀγησίλαος ἀπεκρίνατο· « Ἡμεῖς, ὦ Φαρνάβαζε, τοὺς τῆς πατρίδος πολεμίους ἰδίους ἐχθροὺς ἡγούμεθα. Ἐὰν δ' ὅμως καὶ σὺ φανῇς οὐδὲν ἡμᾶς κακῶς ποιῶν, καὶ ἡμεῖς ὑπισχνούμεθά σοι φείσεσθαι τῆς σῆς ἀρχῆς ». Ἐπὶ τούτοις ἐσπείσαντο ἀλλήλοις.

67. Χάρων[1], Μένιππος, Ἑρμῆς.

Χ ά ρ ω ν. Ποδαποί[2] μέν ἐστε, ὦ νεανίαι, καὶ πόθεν ἐνταῦθα ἀφίκεσθε ;

Μ έ ν ι π π ο ς. Οὗτος μὲν Ἑρμῆς θεός ἐστιν, ἐγὼ δ' ἀλλοδαπός[3]. Ἀμφότεροι δ' οὐδαμόθεν ἄλλοθεν ἀφικόμεθα ἢ ἐκεῖθεν, ὅποι οἱ ἄνθρωποι ἀποθνήσκοντες εἰς Ἅδου καταβαίνουσι.

Χ ά ρ ω ν. Πηλίκος δ' εἶ ;

Μ έ ν ι π π ο ς. Τηλικοῦτος, ἡλίκον σὺ ὁρᾷς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Χ ά ρ ω ν. Πότερος δ' ἀποδώσει μοι τὰ πορθμεῖα[4] ;

Μ έ ν ι π π ο ς. Οὐδέτερος[5]· ἀμφότεροι γὰρ οὐκ ἔχομεν ὀβολὸν καὶ παρὰ τοῦ μὴ ἔχοντος οὐκ ἂν λάβοις.

Χ ά ρ ω ν. Ἔστι δέ τις ὀβολὸν οὐκ ἔχων ;

Μ έ ν ι π π ο ς. Εἰ μέν τις καὶ ἄλλος, οὐκ οἶδα. Ἐγὼ δέ, ὃς Μένιππός εἰμι, οὐκ ἔχω.

Χ ά ρ ω ν. Ποῖ σε νῦν ἀγάγω ἄνευ ὀβολοῦ ;

Μ έ ν ι π π ο ς. Ὅποι καὶ τοὺς ἄλλους νεκρούς· εἰ δὲ μή, ἄπαγέ με ἐκεῖσε, ἔνθα καὶ πρίν με ἐλθεῖν ἐνθάδε, οἷ ἔρεβός[6] ἐστι καὶ οὐδὲν ἄλλο.

Χ ά ρ ω ν. Τοῦτο μέντοι, ὃ ζητεῖς, ὦ φίλε, ἀδύνατον.

68. Οἱ Γαλάται[1].

Οἱ Γαλάται ἦσαν τὸ μὲν σῶμα εὐμήκεις[2], τὴν δὲ σάρκα κάθυγροι καὶ λευκοί, τὴν δὲ κόμην φύσει ξανθοί. Καταπληκτικοὶ[3] δὲ τὴν ὄψιν ἦσαν καὶ τραχεῖς τὴν φωνὴν καὶ κατὰ τὰς ὁμιλίας βραχύλογοι[4]. Τὰ δὲ πολλὰ[5] ὑπερέβαλλον τὴν φύσιν ἐπ' αὐξήσει μὲν ἑαυτῶν, μειώσει[6] δὲ τῶν ἄλλων. Ἦσαν δὲ τὴν διάνοιαν ὀξεῖς, πρὸς δὲ τὴν μάθησιν οὐκ ἀφυεῖς[7], ὥστε καὶ ποιηταὶ μελῶν παρ' αὐτοῖς ἐγένοντο, οὓς βάρδους[8] ὠνόμαζον. Ἐν δὲ τῷ πολέμῳ οὐδενὸς ἦσαν χείρους τὸ φρόνημα· κατὰ γὰρ τὴν μάχην εἰώθεσαν προάγειν τῆς παρατάξεως καὶ προκαλεῖσθαι τοὺς ἀντιτεταγμένους εἰς μονομαχίαν.

69. Πελίας καὶ Ἰάσων.

Πελίας βασιλεύων Ἰωλκοῦ[1] τὸν θεὸν ἤρετο, εἴ τι ἔχοι αὐτῷ ἀγγεῖλαι περὶ τοῦ μέλλοντος. Ὁ δ' ἀπεκρίνατο ὅτι μονοσάνδαλος[2] αὐτὸν ἀποκτενοῖ. Καὶ τὸ μὲν πρῶτον ἠγνόει τὸν ἀπειλοῦντα αὐτῷ κίνδυνον, ὕστερον δ' ἐνόησε. Μέλλων γὰρ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θύσειν τῷ θεῷ παρήγγειλε πᾶσι τοῖς πολίταις εἰς τὴν ἑορτὴν ἐλθεῖν.

Ἰάσων δὲ διαβαίνων τὸν ποταμὸν Ἄναυρον ἀπέβαλεν ἐν τῷ ῥείθρῳ τὸ ἕτερον σανδάλιον καὶ ἦλθε μονοσάνδαλος. Τοῦτον θεασάμενος Πελίας καὶ τὸν χρησμὸν συμβαλὼν ἠρώτα αὐτόν, τί ἂν ποιήσειεν, εἰ λόγιον[3] αὐτῷ εἴη ὅτι τῶν πολιτῶν τις αὐτὸν ἀποκτενοῖ. Ὁ δ' ἀπεκρίνατο· « Ἐντειλαίμην ἂν αὐτῷ ἐνεγκεῖν τὸ χρυσόμαλλον δέρας· οὐ γὰρ ἐλπίζω τὸ ἔργον τοῦτο περανεῖν· δεήσει γὰρ ἀποκτεῖναι τὸν ἄυπνον δράκοντα, ὑφ' οὗ κινδυνεύσει ἀποθανεῖν ».

Ταῦτα ἀκούσας Πελίας ἐνετείλατο αὐτῷ ἐπὶ τοὺς Κόλχους ἐλθεῖν ἀποκτενοῦντα τὸν δράκοντα καὶ ληψόμενον τὸ δέρας. Ἰάσων δὲ πεντηκόντορον[4] ναῦν κατεσκεύασεν, ἣν Ἀργὼ ἐκάλεσε, καὶ τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος ἤθροισεν, ἵνα ἐν τῇ Κολχίδι τοὺς πολεμίους ἀμύνηται.

70. Ἀργοναῦται καὶ Φινεύς[1].

Ἐπεὶ ἡ ναῦς κατεσκεύαστο, Ἰάσων ἀγείρας τοὺς ἀρίστους τῆς Ἑλλάδος λέγει αὐτοῖς· « Ἄνδρες φίλοι, ὑπὸ Πελίου παρήγγελταί μοι τὸ χρυσόμαλλον δέρας τὸ ἐκτεταμένον περὶ δρῦν ἐν Κολχίδι κομίσασθαι αὐτῷ. Ἐγὼ δ' αἰσχυνθεὶς τὰ παρηγγελμένα μὴ ποιῆσαι, παρήγγελκα κατασκευασθῆναι ταχεῖαν ναῦν. Αὕτη οὖν κατεσκεύασται καὶ ἐν τῷ λιμένι ἐστί. Καλῶ δ' οὖν ὑμᾶς βοηθούς, ἵνα μὴ τοῦ πλοῦ ἐσφαλμένοι καὶ ἐν τῇ ξένῃ διεφθαρμένοι ὦμεν[2]· φασὶ γὰρ τοὺς εἰς Κόλχους πλέοντας κινδυνεύειν ὑπὸ τοῦ φρουροῦντος τὸ δέρας δράκοντος. Ἐὰν τὸ δέρας ἁρπάσωμεν, φανησόμεθα μέγα ἔργον περάναντες. Δεῖ δ' ὑμᾶς ἐν δυσὶν ἡμέραις ἀποκεκρίσθαι, εἰ πρόθυμοί ἐστε συμπλεῖν ἐμοί ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ δέ, πρὶν δύο ἡμέρας παρελθεῖν, ἀπεκρίναντο αὐτῷ προθύμως συμπλεύσεσθαι.

Ἐπεὶ οὖν ἱκανὰ ἐπιτήδεια εἰσεβέβλητο ἐν τῇ νηί, ἐξέπλευσαν καὶ εἰς Θρᾴκην ἧκον.

Ἐνταῦθα Φινεὺς ᾤκει τυφλωθεὶς ὑπὸ τῶν θεῶν, ὅτι τὰ ὑπὸ τῶν θεῶν εἱμαρμένα[3] τοῖς ἀνθρώποις προὔλεγεν. Ἔπεμψαν δ' αὐτῷ οἱ θεοὶ καὶ τὰς πτερωτὰς Ἁρπυίας[4], αἳ τὴν τροφὴν αὐτοῦ ἥρπαζον. Ἐπιφανέντες δ' οἱ Ἀργοναῦται

ἀπήλλαξαν αὐτὸν τῶν Ἁρπυιῶν, αἷς πεπρωμένον ἦν ὑπὸ τῶν υἱῶν τοῦ Βορέου διαφθαρῆναι.

Εὐφρανθεὶς δ' ἐπὶ τούτῳ Φινεὺς συνεβούλευσεν αὐτοῖς, πῶς ἂν τὸν πλοῦν ποιοῖντο, ἵνα μὴ ὑπὸ τῶν Συμπληγάδων[5] πετρῶν διεφθαρμένοι εἶεν. Ἦσαν δὲ ὑπερμεγέθεις αὗται, συγκρουόμεναι δ' ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας τὸν διὰ θαλάττης πόρον ἀπέκλειον.

Ἐνετέταλτο οὖν αὐτοῖς ὑπὸ Φινέως ἀφεῖναι[6] πέλειαν[7]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διὰ τῶν πετρῶν καί, ἐὰν μὲν ἴδωσιν αὐτὴν σωθεῖσαν, διαπλεῖν, ἐὰν δὲ διεφθαρμένην, μὴ βιάζεσθαι τὸν πλοῦν.

Ἀναχθέντες οὖν ἐντεῦθεν καὶ εἰς πέτρας ἀφικόμενοι ἐπέτρεψαν τῇ πελείᾳ διελθεῖν. Ἡ δ' οὐκ ἔσφαλτο, περιεκόπη δὲ τὰ ἄκρα τῆς οὐρᾶς. Τοῦτο οἰωνὸς ἀγαθὸς ἐκρίθη. Καὶ οἱ Ἀργοναῦται ἐπιτηρήσαντες τὰς πέτρας ἀναχωρούσας διῆλθον. Ἐκ δὲ τούτου αἱ πέτραι μεμενήκασιν ἀκίνητοι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΜΕΡΟΣ Β'

71. Ἰάσων καὶ Μήδεια.

Μετὰ τὸν διὰ τῶν Συμπληγάδων πλοῦν οἱ Ἀργοναῦται ἀναπεταννύασι[1] τὰ ἱστία καὶ διαπλεύσαντες τὸν πόντον εἰς Κολχικὴν γῆν ἀφικνοῦνται. Ἐν τῷ πλῷ ἐπερρώννυσαν[2] ἀλλήλους καὶ ὤμοσαν[3] βοηθήσειν παντὶ τρόπῳ τῷ Ἰάσονι.

Καθορμισθείσης[4] δὲ τῆς νεὼς ἧκεν Ἰάσων πρὸς Αἰήτην καὶ ἔλεγεν αὐτῷ· «Πελίας ὁ βασιλεύς, ἐπέταξέ μοι τὸ χρυσόμαλλον δέρας αὐτῷ κομίσασθαι· ἐὰν τοῦτο μὴ φέρω αὐτῷ, ἀπολοῦμαι».

Αἰήτης δὲ δείκνυσι τοὺς χαλκόδοντας ταύρους καὶ λέγει αὐτῷ· « Ζεύγνυ τούτους καί, ἐὰν καταζεύξῃς αὐτούς, παρέξω σοι τὸ δέρας ». Ἦσαν δ' οὗτοι ἄγριοι ταῦροι, οὓς χαλεπῶς ἄν τις ζευγνύοι, τὸ δ' ἐκ τοῦ στόματος ἐκπεμπόμενον πῦρ οὐδέποτε κατεσβέννυτο. Τούτους δὲ καταζεύξας ἔμελλε σπείρειν δράκοντος ὀδόντας, ἐξ ὧν δράκοντες ἀναδύσονται[5] ἐπ' αὐτόν.

Ταῦτα ἀκούσας Ἰάσων ἠπόρει, πῶς ἂν τοὺς ταύρους ζευγνύοι. Μήδεια δ' ἡ τοῦ Αἰήτου θυγάτηρ προσελθοῦσα ὑπέσχετο δείξειν αὐτῷ, πῶς ἂν οἱ ταῦροι ζευγνύοιντο, ἐὰν ὀμόσῃ αὐτὴν ἄξειν γυναῖκα καὶ εἰς τὴν Ἑλλάδα σύμπλουν ἀγάγηται. Ὁ δ' ὤμοσε ποιήσειν τοῦτο, ἐὰν τοὺς ταύρους καταζεύξῃ.

Ἐκ τούτου Μήδεια παρέσχε φάρμακον, δι' οὗ τὴν ἀσπίδα, τὸ δόρυ καὶ τὸ σῶμα ἐκέλευσε χρῖσαι[6]· οὕτω δ' ἔμελλεν οὔθ' ὑπὸ πυρὸς οὔθ' ὑπὸ σιδήρου ἀδικήσεσθαι[7].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐκ τούτου Ἰάσων ἐπιρρώννυται καὶ χρισάμενος τῷ φαρμάκῳ παραγίγνεται εἰς τὸ ἄλσος καὶ ἐνταῦθα τοὺς ταύρους καταζεύγνυσιν. Οἱ δ' ἐζευγμένοι τὴν γῆν ἤρουν· ἐκ τῶν σπειρομένων δ' ὀδόντων ἀνεδύοντο ἐπ' αὐτὸν δράκοντες καθωπλισμένοι, οὓς Ἰάσων ἀπέκτεινεν· ἔβαλλε γάρ, ὡς Μήδεια ἔλεξεν αὐτῷ, ἀφανὴς ἄποθεν[8] λίθους ἐπ' αὐτούς. Οἱ δὲ περὶ τούτων μαχόμενοι πρὸς ἀλλήλους ἀπέθνῃσκον ὑπὸ Ἰάσονος.

Ἐπεὶ δ' Αἰήτης οὐ παρεῖχε τὸ δέρας, εἰ καὶ οἱ ταῦροι κατεζευγμένοι ἦσαν, ἡ Μήδεια κατακοιμίσασα τὸν δράκοντα τὸ δέρας ἀφείλετο καὶ μετὰ τοῦ Ἰάσονος εἰς Ἀργὼ ἧκον, ἐφ' ἧς φερόμενοι εἰς Ἑλλάδα ἀφίκοντο.

72. Συμβουλὴ πρὸς ἄρχοντας.

Ἐὰν σαυτὸν δοῦλον τῶν ἡδονῶν καταστήσῃς, μὴ ἔλπιζε ῥᾳδίως τῶν πολιτῶν ἄρξειν· οἱ γὰρ πολῖται καθιστᾶσιν ἀεὶ ἑαυτοῖς τὸν ἄρχοντα ὑπόδειγμα. Ὁμοίως καθίστη σαυτῷ συμβούλους ἄνδρας ἀγαθούς, οἵ ἐπιμελήσονται, ὅπως εὐτυχεστάτους τοὺς πολίτας καταστήσουσιν· οὕτω γὰρ ἂν καθισταίης ἀσφαλῆ τὴν ἀρχήν. Τοὺς πονηροὺς δὲ πολίτας μετάστησον[1] ἐκ τῆς πόλεως· οἱ γὰρ τοιοῦτοι κινδυνεύουσι καὶ ἄλλους καθιστάναι πονηρούς, οἵ μισητὴν τὴν ἀρχὴν τοῖς ἀγαθοῖς πολίταις καταστήσουσιν· οὗτοι γὰρ ὁρῶντες τὴν πόλιν κακῶς πάσχουσαν μεταστήσουσι[2] τὴν πολιτείαν[3] καὶ σὲ αὐτὸν ἐκ τῆς πόλεως ἐκβαλοῦσι.

Τεκμήριον[4] δέ σοι ἔστω, ἃ τοὺς τριάκοντα οἱ πολῖται ἐποίησαν. Οὗτοι γὰρ καταλαβόντες τὴν ἀρχὴν οὐ μόνον τὴν πολιτείαν μετέστησαν, ἀλλὰ καὶ χρηστοὺς πολίτας μετ' οὐ πολὺ διετέλουν μεθιστάντες ἐκ τῆς πόλεως. Ἐπεὶ δὲ διίστασαν[5] τοὺς πολίτας καὶ τοὺς μὲν τιμαῖς ἐτίμων, τοὺς δὲ χρημάτων ἕνεκα ἐξίστασαν[6] ἐκ τῆς πόλεως, οἱ πολῖται συνίστασαν[7]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλήλους ἐπ' αὐτοὺς καὶ τέλος ἐξέβαλον. Σημεῖον δέ σοι καὶ τοῖς καλῶς βασιλεύειν βουλομένοις ἔστω, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν.

73. Κέκροψ.

Κέκροψ συμφυὲς[1] ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος πρῶτος βασιλεὺς τῆς Ἀττικῆς καθίσταται. Τούτου βασιλέως καταστάντος, ἔδοξε τοῖς θεοῖς καθίστασθαι προστάτας τῶν πόλεων, ἐν αἷς ἔμελλον ἰδίας ἕκαστος τιμὰς ἔχειν. Μεταστάντες[2] οὖν ἐκ τοῦ Ὀλύμπου ἧκον ἐπὶ τὴν γῆν.

Ποσειδῶν μὲν οὖν πρῶτος ἐλθὼν ἐπὶ τὴν Ἀττικὴν καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνεν[3] ὕδωρ, ἐξ οὗ προστάτης ταύτης κατέστη. Μετὰ δὲ τοῦτον Ἀθηνᾶ ἐφύτευσεν ἐλαίαν, ἔνθα νῦν τὸ Ἐρέχθειον[4] ἕστηκεν. Ἐκ δὲ τούτου ἔρις ὑπ' αὐτῶν ἐνίστατο, ὁπότερος τῆς Ἀττικῆς προστάτης κατασταίη.

Κριταὶ οὖν οἱ ἄλλοι θεοὶ καθίσταντο, ἀλλ' εὐθὺς οὗτοι διίσταντο ἀλλήλοις· οἱ μὲν γὰρ Ποσειδῶνος ἔφασαν τὴν πόλιν εἶναι, οἱ δ' Ἀθηνᾶν ἐβούλοντο πολιοῦχον καταστῆναι. Τέλος δὲ τῇ Ἀθηνᾷ κατεκρίθη ἡ Ἀττικὴ καὶ οὕτω ἡ ἐνεστῶσα φιλονεικία ἔληξεν.

74. Ἀταλάντη.

Ἀταλάντην γενομένην ὁ πατὴρ ἐκτίθησιν· ἀρρένων γὰρ καὶ οὐ θυγατέρων ἔλεγε δεῖσθαι. Ὁ δὲ λαβὼν ταύτην ἐκθεῖναι οὐκ ἀπέκτεινεν, οὐδ' εἰς βάραθρον ἐξῆκεν[1]. Ἐλθὼν δ' εἰς τὸ Παρθένιον[2] ὄρος ἔθηκε ταύτην πλησίον πηγῆς, ἔνθα ἄντρον ἦν, ἐφ' οὗ δασὺς δρυμὼν ἐπέκειτο· ἐνταῦθα τὸ βρέφος ἐνθεὶς ἔφυγε.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μετ' οὐ πολὺ ἄρκτος ἧκεν, ἣ τοὺς μαστοὺς ὑπὸ γάλακτος βαρυνομένους εἶχε· κυνηγοὶ γὰρ τὰ ἑαυτῆς βρέφη ἀφῃρήκεσαν. Αὕτη συνεῖσα[3] τὸ ἐκτεθειμένον βρέφος προσέρχεται καὶ τοὺς μαστοὺς τῷ στόματι ἐντίθησι. Τὸ δ' εὐθὺς ἐθήλασε

καὶ ἅμα τὸ θηρίον ἀνεκουφίσθη. Ἐκ τούτου καθ' ἡμέραν, ὁπότε συνιείη τοὺς μαστοὺς ἐμπιμπλαμένους[4] γάλακτος, προσῆγε πρὸς τὸ βρέφος.

Κυνηγοὶ δ' ἰδόντες τὴν ἄρκτον θαμὰ[5] φοιτῶσαν εἰς τὸ ἄντρον συντίθενται[6] ταύτην παραφυλάξαι. Εἶδον οὖν αὐτὴν οὐδέποτε προϊεμένην[7] τὸ ἔργον καὶ κατασκεψάμενοι τὸ ἄντρον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εὗρον τὸ βρέφος. Λαβόντες οὖν αὐτὸ ὄνομα ἔθεντο Ἀταλάντην.

Ἡ δὲ τρεφομένη ὀρείῳ τροφῇ καὶ ἐν τοῖς ὄρεσι ζῶσα φόβον μὲν οὐδέποτε συνίει, οὐδέποτε δ' ἀνῆκε[8] θηρεύουσα ἐν τοῖς ὄρεσι. Ποθοῦσα δ' ἐρημίαν κατέλαβε τῶν Ἀρκαδικῶν ὀρέων τὸ ὑψηλότατον, ἔνθα ἦν αὐλὼν[9] κατάρρυτος καὶ δρῦς μεγάλη καὶ πεῦκαι καὶ βαθεῖα ἡ ἐκ τούτων σκιά. Στρωμνὴ δ' αὐτῇ ὑπετίθετο δοραὶ τῶν θηρευομένων καὶ οὔποτ' ἀνῆκε κρέασι τούτων τρεφομένη. Στολὴν δ' ἀνειμένην[10] ἐνεδύετο καὶ τοιαύτην, ὥστε μηδὲν διαφέρειν Ἀρτέμιδος. Οὐδενὶ δ' ἐφίει[11] πελάσαι αὐτῇ. Εἰ δέ τις ἐφιεῖτο προσγενέσθαι αὐτῇ, αὕτη διιεῖσα[12] τὸν δρυμὸν καὶ τὴν λόχμην τῇ τῶν ποδῶν ταχυτῆτι ἀπέκρυπτεν ἑαυτήν.

75. Ἡ ρ α κ λ ῆ ς.

Ἡρακλῆς υἱὸς Διὸς καὶ Ἀλκμήνης ἦν. Ταύτην Ζεὺς Ἀμφιτρύωνι ἐκδίδωσι[1]· τούτῳ παραδοθεὶς καὶ Ἡρακλῆς βρέφος ἐτρέφετο. Ὀλίγῳ δὲ χρόνῳ ὕστερον, ἀφ' οὗ Ἀμφιτρύωνι Ἡρακλῆς παρεδέδοτο, Ἥρα δύο δράκοντας ὑπερμεγέθεις ἔπεμψε τὸ βρέφος διαφθεροῦντας. Ὁ δ' ἀναστὰς ἄγχων[2] ἑκατέραις ταῖς χερσὶ τούτους διέφθειρε καὶ νεκροὺς τῷ πατρὶ παρέδωκεν. Αὐξηθεὶς δὲ παραδίδοται διδασκάλοις, παρ' οἷς τὰ πολεμικὰ ἐξέμαθεν[3]. Ἐπειδὴ δὲ καθ' ἡμέραν ηὐξάνετο μέγας, παρεδόθη παρ' Ἀμφιτρύωνος τοῖς βουκόλοις, ἵνα οὗτοι μεταδιδοῖεν αὐτῷ τοῦ ἔργου.

Ἐνταῦθα Ἡρακλῆς διατρίβων τὸν Κιθαιρώνειον[4] λέοντα ἀποκτενεῖ καὶ νεκρὸν τοῦτον τοῖς βουκόλοις παραδίδωσι. Στρατεύσας εἶτα ἐπὶ τοὺς Μινύας[5] ἠνάγκασε τούτους δασμὸν τοῖς Θηβαίοις διδόναι. Διὸ καὶ παρὰ Κρέοντος[6] ἀριστεῖον αὐτῷ ἡ πρεσβυτάτη θυγάτηρ ἐδόθη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Εἶτα κατὰ ζῆλον Ἥρας μανεὶς[7] καὶ τοὺς ἑαυτοῦ παῖδας τῇ πυρᾷ παραδοὺς ἔρχεται εἰς Δελφοὺς καὶ πυνθάνεται, ποῦ κατοικήσει. Ὁ δὲ θεὸς ἀνεῖλεν αὐτῷ παραδοῦναι ἑαυτὸν Εὐρυσθεῖ καὶ δώδεκα ἔτη ἐνδιδόναι, ὥστε ἐπιτελεῖν τὰ προσταττόμενα. Ἐὰν δὲ παρέλθῃ τὰ δέκα ἔτη, ἀφ' οὗ ἂν τῷ Εὐρυσθεῖ παραδοθῇ, ἀθάνατον αὐτὸν ὁ θεὸς ἔλεγεν ἔσεσθαι.

76. Σωκράτης καὶ Χαιρεκράτης.

Χαιρεφῶντα καὶ Χαιρεκράτη, ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω[1], αἰσθόμενος Σωκράτης διαφερομένω[2] εἶπε τῷ Χαιρεκράτει. « Ἄμφω τὼ ἀδελφὼ ὁμοιάζετον τοῖν χεροῖν καὶ ποδοῖν καὶ ὀφθαλμοῖν· θαυμαστὸν[3] δ' ἂν εἴη, εἰ τὼ χεῖρε ἀντὶ τοῦ ἀλλήλοιν βοηθεῖν τραποίσθην ἐπὶ τὸ διακωλύειν ἀλλήλω, ἢ εἰ τὼ πόδε ἀντὶ τοῦ συνεργεῖν[4] ἀλλήλοιν ἀμελήσαντε τούτου ἐμποδίζοιτον ἀλλήλω βαδίζειν. Τὼ μέντοι ἀδελφὼ καὶ τὼ ἀδελφὰ ὁ θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν ἢ τὼ χεῖρε καὶ πόδε καὶ ὀφθαλμὼ καὶ ὅσα ἄλλα ἀδελφὰ ἔφυσεν[5] ἀνθρώποις ὁ θεός· τὼ μὲν γὰρ χεῖρε οὐκ ἂν οἷόν τ' εἴη τὰ πλέον ὀργυιᾶς ἀπέχοντα ἅμα ποιῆσαι, τὼ δὲ πόδε οὐδ' ἐλθοίτην ἂν πλέον ὀργυιᾶς, τὼ δ' ὀφθαλμὼ οὐκ ἂν οἷόν τ' εἴη ἰδεῖν ἅμα τὰ ἔμπροσθεν καὶ τὰ ὄπισθεν. Τὼ ἀδελφὼ μέντοι φίλω ὄντε πράτεττον ἅμα πλεῖστα ἐπ' ὠφελείᾳ ἀλλήλων ».

77. Ἅδης.

Ὁ πολὺς λεὼς[1] ὑπελάμβανον Ἅδην τόπον πάνυ βαθὺν ὑπὸ τῇ γῇ. Ἔστι δ' οὗτος ὁ τόπος σύμπλεως[2] σκότους καὶ φόβου καὶ περιρρεῖται ποταμοῖς μεγάλοις. Βασιλεύει δ' ἐνταῦθα ὁ ἀδελφὸς τοῦ Διὸς Πλούτων. Αὐτοῦ δὲ πρόκειται ἡ Ἀχε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρουσία λίμνη, ἣν ἔμπλεων ὑδάτων οὐκ ἔστιν παρελθεῖν ἄνευ πορθμέως.

Ταύτην περαιούμενοι οἱ νεκροὶ εἰς λειμῶνα ἔμπλεων ἀσφοδέλων[3] γίγνονται.

Πλούτων δὲ καὶ Περσεφόνη δυναστεύουσι δικαστὰς μὲν παρ' ἑαυτοῖς ἔχοντες Μίνων καὶ Ραδάμανθυν, ὑπηρέτας δ' ἄλλους τε θεοὺς καὶ τὸν ἄγγελον Ἑρμῆν. Οὗτοι τοις μὲν ἀγαθοῖς καὶ δικαίοις τῶν ἀνθρώπων ἵλεῳ[4] εἰσι καὶ εἰς τὸ Ἠλύσιον πεδίον[5] τούτους πέμπουσιν - ἔστι δὲ τοῦτο ἔμπλεων ἡδονῶν - τοὺς δὲ πονηροὺς εἰς τὸν τῆς κολάσεως χῶρον ἐκπέμπουσι.

Διὸ οἱ ἄνθρωποι ζῶντες πειρῶνται τοὺς θεοὺς ἵλεως σφίσιν εἶναι καὶ ἐπὶ τούτῳ κατασκευάζουσι λαμπρούς νεὼς[6] καὶ ἐν τοῖς νεῳς ὁμοίως βωμούς. Πρὸ δὲ τῶν νεῶν ὁ λεὼς εὔχεται ἵλεως τοὺς θεοὺς γενέσθαι αὐτῷ.

78. Ἡρακλῆς πλησίον τοῦ Εὐρυσθέως.

Πρῶτος ἄθλος.

Ἡρακλῆς ἀκούσας, ὅτι δεῖ ἐνδιδόναι Εὐρυσθεῖ, ἔγνω[1] κατὰ τὴν τοῦ θεοῦ ῥῆσιν ποιεῖν. Μετέβη οὖν πρὸς Εὐρυσθέα καὶ τὰ ὑπὸ τοῦ θεοῦ προσταττόμενα ἐποίει.

Γνοὺς δ' Εὐρυσθεὺς τὴν Ἡρακλέους δύναμιν καὶ φοβηθεὶς μὴ ὑπ' αὐτοῦ ἁλῷ, ἐπέταξεν αὐτῷ τοῦ Νεμέου[2] λέοντος τὴν δορὰν κομίζειν. ἤλπιζε γὰρ οὕτω ἀπαλλαγήσεσθαι αὐτοῦ. Ὁ δὲ μεταβὰς εἰς Νεμέαν καὶ γνοὺς τὸν λέοντα ἄτρωτον φύντα ἐδίωκεν αὐτὸν ροπάλῳ. ὁ δὲ φεύγων κατέδυ[3] εἰς σπήλαιον. Ἡρακλῆς δέ, ἵνα μὴ ὁ λέων ἀποδραίη[4], εὐθὺς ἐκδὺς εἰσῆλθεν εἰς τὸ σπήλαιον καὶ τὴν χεῖρα περιθεὶς τῷ τραχήλῳ τοῦ λέοντος ἔπνιξεν αὐτόν. Θέμενος δ' ἐπὶ τοὺς ὤμους εἰς Μυκήνας ἐκόμιζεν αὐτόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Εὐρυσθεὺς δὲ φοβηθεὶς πίθον ἑαυτῷ κατεσκεύασεν, εἰς ὃν εἰσέδυ. Τὸ λοιπὸν δ' ἀπεῖπεν[5] αὐτῷ εἰς τὴν πόλιν μὴ εἰσιέναι, δεικνύναι δὲ πρὸ τῶν πυλῶν τοὺς ἄθλους ἐκέλευσεν· ἔπεμπε δ' ἐφεξῆς κήρυκα καὶ ἐπέταττε τοὺς ἄθλους.

79. Δεύτερος ἆθλος.

Δεύτερον ἆθλον ἐπέταξεν αὐτῷ τὴν λερναίαν ὕδραν[1] ἀποκτεῖναι. Αὕτη δ' ἐν τῷ τῆς Λέρνης[2] ἕλει ἐκτραφεῖσα ἐξέβαινε καὶ τὰ βοσκήματα, ὧν τὸ πεδίον ἀνεπίμπλατο, διέφθειρεν. Οὐδεὶς δὲ τοῦ κακοῦ τὴν χώραν ἀπαλλάξαι ἠδύνατο· ἠπίσταντο[3] γὰρ πάντες κινδυνεύσειν, ἐὰν τοιοῦτόν τι πειραθῶσιν. « Ἐὰν ταύτην », εἶπεν ὁ Εὐρυσθεύς, « δύνῃ ἀποκτεῖναι, τὴν χώραν εὖ ποιήσεις ». Εἶχε δ' ἡ ὕδρα κεφαλὰς ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν δὲ μίαν ἀθάνατον.

Ἐπιβὰς οὖν Ἡρακλῆς ἅρματος, ἡνιοχοῦντος Ἰολάου, εἰς Λέρνην ἔρχεται καὶ τοὺς μὲν ἵππους ἵστησι, τὴν δ' ὕδραν εὑρὼν τῷ ροπάλῳ τὰς κεφαλὰς ἔκοπτεν. Ἀλλ' οὐδὲν ἠδύνατο ἀνύειν· μιᾶς γὰρ κεφαλῆς κοπτομένης δύο ἀνεφύοντο. Λέγει οὖν πρὸς Ἰόλαον. « Οὐκ ἠπιστάμην οὕτω χαλεπὸν τὸ ἔργον ὄν. σὺ οὖν ἐμπίμπρη[4] τὴν ἐγγὺς ὕλην καί, ὅταν ἐγὼ τὰς κεφαλὰς ἀποκόπτω, σὺ πειρῶ ἐμπιμπράναι ταύτας τοῖς καιομένοις δαυλοῖς ». Τοῦτον τὸν τρόπον ἐμπρήσας τὰς ἀναφυομένας κεφαλὰς τάφρον ἀνέῳξεν, ἐν ᾗ κατώρυξε τὴν ἀθάνατον κεφαλήν. Εὐθὺς δ' εἶτα λίθον αὐτῇ ἐπιθεὶς ἐμπίμπλησι τὴν τάφρον λίθων καὶ γῆς· τὸ δὲ σῶμα τῆς ὕδρας ἀποσχίσας ἐνέπλησε χολῆς τὰ ἄκρα τῶν οἰστῶν[5].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

80. Τρίτος, τέταρτος καὶ πέμπτος ἄθλος.

Τρίτον ἆθλον ἐπέταξεν αὐτῷ ἐνεγκεῖν τὴν Κερυνῖτιν ἔλαφον ζῶσαν. Ταύτην ἔφασαν χρυσόκερων εἶναι καὶ ἰέναι ἐλευθέραν διὰ τοῦ ἄλσους, ἅτε ἱερὰν τῆς Ἀρτέμιδος οὖσαν. Διὸ Ἡρακλῆς βουλόμενος αὐτὴν μήτε ἀνελεῖν μήτε τρῶσαι διήει ὅλον ἐνιαυτὸν τὸ ἄλσος διώκων τὴν ἔλαφον· ἐδεδοίκει γὰρ

μή, ἐὰν ταύτην ἀποκτείνῃ, τὴν θεὰν ἐχθρὰν αὐτῷ ποιήσῃ. Ἐπεὶ δ' ἡ ἔλαφος διωκομένη ἀπέκαμεν, ἀφικομένη ἐπὶ τὸν Λάδωνα ποταμὸν ἔστη. Ἐνταῦθα ταύτην Ἡρακλῆς ἐπὶ τῇ ὄχθῃ καθημένην συνέλαβεν. Ἐπὶ τῶν ὤμων δὲ ταύτην θεὶς πρὸς Εὐρυσθέα τὸν βασιλέα εἰς Μυκήνας ἐκόμισε.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τέταρτον ἆθλον τὸν Ἐρυμάνθιον[1] κάπρον ἐπέταξε ζῶντα κομίζειν. Τοῦτο τὸ θηρίον πάντες ἤδεσαν μεγίστων κακῶν αἴτιον τῇ χώρᾳ γεγονός· ἐκ γὰρ τοῦ ὄρους ὁρμώμενος ἠδίκει τὴν γῆν. Οἱ δ' ἄνθρωποι ἐδέδισαν τοῦτον διῶξαι. Ἡρακλῆς μέντοι διώξας αὐτὸν ἔκ τινος λόχμης μετὰ κραυγῆς εἰς χιόνα πολλὴν παρειμένον ἐμβροχίσας[2] εἷλε καὶ εἰς Μυκήνας ἐκόμισε.

Πέμπτον ἐπέταξεν ἆθλον τὴν κόπρον τῶν Αὐγείου βοσκημάτων καθῆραι· ἐκ ταύτης γὰρ κατακειμένης καὶ ὀζούσης πολλοὶ τῶν ἀνθρώπων ἐτέθνασαν. Ἦν δ' Αὐγείας Ἤλιδος βασιλεὺς πολλὰς ποίμνας βοσκημάτων ἔχων. Τούτῳ Ἡρακλῆς προσῄει καὶ ἔφη ἐν μιᾷ ἡμέρᾳ τὴν κόπρον ἐξοίσειν, εἰ δώσει αὐτῷ τὴν δεκάτην τῶν βοσκημάτων. Ὁ δ' εἰδὼς χαλεπὸν τὸ ἔργον καὶ ὅτι κινδυνεύσει τεθνάναι, πρὶν τὸ ἔργον περᾶναι, ὑπισχνεῖται. Ἡρακλῆς δὲ τὸν Ἀλφειὸν[3] ποταμὸν καὶ Πηνειὸν[4] σύνεγγυς βεβηκότας διὰ τῆς κόπρου παροχεύσας ταύτην ἐκάθηρεν.

81. Ἕκτος ἆθλος.

Ἕκτον ἆθλον ἔδοξεν Εὐρυσθεῖ ἐπιτάξαι αὐτῷ τὰς Στυμφαλίδας ὄρνιθας[1] ἐξελάσαι. Ταύτας νεμομένας τὴν περὶ τὴν Στύμφαλον τῆς Ἀρκαδίας χώραν οὐκ εἶχον οἱ οἰκοῦντες ἐκδιῶξαι. Ὁπότε γὰρ βούλοιντο ταύτας διῶξαι, αὗται εἰς τὴν λίμνην Στυμφαλίδα εἰσέβαινον καὶ ἐν τῇ ὕλῃ ἐκρύπτοντο. Ἦν δ' ἡ Στυμφαλὶς πολλῇ συνηρεφὴς[2] ὕλῃ. Ἐπὶ ταύτας Εὐρυσθεὺς ἐκάλεσε Ἡρακλέα νομίζων οὐχ οἷόν τε εἶναι τοιοῦτον ἔργον ἐπιτελέσαι.

Ἡρακλῆς οὖν μεταβὰς ἐκεῖσε ἐπειρᾶτο διαφόροις ὅπλοις ἐκβάλλειν αὐτάς. Αἱ δὲ διωκόμεναι εἰσέβησαν εἰς τὴν ὕλην καὶ ἐκρύπτοντο. Ἀμηχανοῦντι δ' αὐτῷ καὶ οὐκ ἔχοντι ὅ τι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποιῆσαι[3], Ἀθηνᾶ δωρεῖται κρόταλα χαλκᾶ παρ' Ἡφαίστου λαβοῦσα· αὕτη γὰρ ἠβουλήθη βοηθῆσαι Ἡρακλεῖ. Ταῦτα κρούων οὗτος ἐπὶ τοῦ συνεχομένου τῇ λίμνῃ ὄρους ἐφόβει[4] τὰς ὄρνιθας. Αἱ δὲ ἀκούουσαι καὶ οὐχ ὑπομένουσαι τὸν δοῦπον βουλόμεναι σωθῆναι ἀνίπταντο. Τότε δὲ ταύτας ἐτόξευε καὶ οὕτω πάσας διέφθειρε.

82. Ἕβδομος καὶ ὄγδοος ἆθλος.

Ἕβδομον ἆθλον ἐπέταξε τὸν Κρῆτα ταῦρον ἑλεῖν καὶ εἰς Μυκήνας ἀγαγεῖν. Τοῦτον Εὐρυσθεὺς ἐπυνθάνετο ἄγριον ὄντα καὶ ἐν ἄντρῳ κεκλειμένον, ὥστε χαλεπὸν εἶναι ληφθῆναι

ζῶντα ὑπ' ἀνδρός. Τοῦτο μαθὼν πέμπει Ἡρακλέα ἡγούμενος οὐκ ἂν περιγενέσθαι[1] τούτου. Ἡρακλῆς δὲ παραγενόμενος εἰς Κρήτην εὑρίσκει Μίνωα καὶ ἠξίου τὸν ταῦρον λαμβάνειν. Ὁ δ' οὐκ εἰδὼς Ἡρακλέα εἶπεν αὐτῷ διαγωνισαμένῳ τιτρώ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σκειν καὶ λαμβάνειν τὸν ταῦρον. Ἡρακλῆς δὲ τρώσας τοῦτον καὶ δήσας ἔδειξεν Εὐρυσθεῖ· τὸ δὲ λοιπὸν εἴασεν αὐτὸν ἄνετον[2]. Ὁ δὲ ταῦρος ἀποδρὰς ἐκεῖθεν καὶ διαβὰς τὸν Ἰσθμὸν εἰς Μαραθῶνα τῆς Ἀττικῆς ἀφικνεῖται καὶ ἐνταῦθα, ἕως ἐγήρασε, τοὺς βλασταίνοντας ἀγροὺς διελυμαίνετο[3].

Ὄγδοον ἆθλον ἐπέταξε τὰς Διομήδους τοῦ Θρᾳκὸς ἵππους εἰς Μυκήνας κομίζειν. Αἱ δ' ἵπποι αὗται ἔδακνον καὶ κατήσθιον ἀνθρώπους. Ἐβασίλευε δὲ Διομήδης Βισκόνων, ἔθνους μαχιμωτάτου. Πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων, οἷς πολλὰ ἀγαθὰ ὑπέσχετο, ἀφίκετο εἰς Θρᾴκην. Ἐνταῦθα δ' ἐπιτυχὼν τοῖς ἐπὶ ταῖς φάτναις τῶν ἵππων φρουροῦσι τούτους ἐβιάσατο καὶ ἤγαγε τὰς ἵππους ἐπὶ θάλατταν. Τῶν δὲ Βισκόνων σὺν ὅπλοις ἐπιβοηθούντων τὰς ἵππους μὲν παρέδωκεν Ἀβδήρῳ, ὃς ὑπ' αὐτῶν ἐπισπασθεὶς[4] ἀπέθανεν, αὐτὸς δὲ διαγωνισάμενος πρὸς Διομήδη καὶ τοὺς σὺν αὐτῷ ἐπιδραμόντας καὶ ἀποκτείνας αὐτὸν ῥᾳδίως τοὺς ἀποκαμόντας ἠνάγκαζε φεύγειν. Τεμὼν[5] δὲ καὶ τὴν Διομήδους χώραν καὶ λαβὼν τὰς ἵππους ἀπήγαγε ταύτας εἰς Μυκήνας. Μεθέντος δ' αὐτὰς Εὐρυσθέως, εἰς τὸ λεγόμενον ὄρος Ὄλυμπον ἐλθοῦσαι πρὸς τῶν θηρίων ἀπώλοντο.

83. Ἔνατος καὶ δέκατος ἆθλος.

Ἔνατον ἆθλον Ἡρακλεῖ ἐνετείλατο κομίζειν τὸν ζωστῆρα[1] Ἱππολύτης. Ταύτην αἱ Ἀμαζόνες[2], αἳ περὶ Θερμώδοντα ποταμὸν κατῴκουν, ἠδοῦντο καὶ ηὐλαβοῦντο[3]. Εἶχε δ' Ἱππολύτη τὸν Ἄρεως ζωστῆρα σύμβολον[4] τοῦ πρωτεύειν ἁπασῶν. Τοῦτο τὸ ἔργον Εὐρυσθεὺς χαλεπὸν ᾠήθη εἶναι Ἡρακλεῖ· αἱ γὰρ Ἀμαζόνες μαχιμώταται ἦσαν καὶ οὐδείς ποτε διενοήθη διαγωνίσασθαι αὐταῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Παραλαβὼν οὖν Ἡρακλῆς ἐθελοντὰς συμμάχους ἐν μιᾷ νηὶ ἔπλει. Ἐπεὶ δ' εἰς τὸν λιμένα αὐτῶν κατέπλευσε, παραγενομένης ὡς αὐτὸν Ἱπολύτης καὶ τίνος χάριν ἥκοι πυθομένης καὶ δώσειν τὸν ζωστῆρα ὑποσχομένης, Ἥρα μιᾷ τῶν Ἀμαζόνων εἰκασθεῖσα[5] τὸ πλῆθος ἐπεφοίτα λέγουσα· « Τὴν βασιλίδα ἁρπάζουσιν οἱ προσελθόντες ξένοι ». Αἱ δὲ μεθ' ὅπλων ἐπὶ τὴν ναῦν κατέθεον σὺν ἵπποις. Ὡς δ' ἤσθετο αὐτὰς καθωπλισμένας Ἡρακλῆς, νομίσας ἐκ δόλου τοῦτο γενέσθαι τὴν μὲν Ἱπολύτην κτείνας τὸν ζωστῆρα ἀφαιρεῖται, πρὸς δὲ τὰς λοιπὰς ἀγωνισάμενος ἀποπλεῖ καὶ κομίσας τὸν ζωστῆρα εἰς Μυκήνας ἔδωκεν Εὐρυσθεῖ.

Δέκατον δ' ἆθλον ἐπετάγη τὰς Γηρυόνου βοῦς ἐξ Ἐρυθείας κομίζειν. Ἐρύθεια δ' ἦν Ὠκεανοῦ πλησίον κειμένη νῆσος, ἣ νῦν Γάδειρα καλεῖται. Ταύτην Γηρυόνης ἐκαρποῦτο τριῶν ἔχων ἀνδρῶν συμφυὲς σῶμα συνηγμένον μὲν εἰς ἓν κατὰ τὴν γαστέρα, ἐσχισμένον δ' εἰς τρεῖς ἀπὸ λαγόνων τε καὶ μηρῶν. Εἶχε δὲ φοινικᾶς βοῦς, ὧν ἐπεμελεῖτο μὲν βουκόλος Εὐρυτίων, φύλαξ δ' ἦν αὐτῶν Ὄρθρος, κύων δικέφαλος. Πορευόμενος οὖν Ἡρακλῆς ἐπὶ τὰς βοῦς ταύτας περαιοῦται νηὶ εἰς Ἐρύθειαν καὶ ἐν τῷ ὄρει Ἄβαντι αὐλίζεται[6] οὐδενὸς ἐναντιουμένου. Αἰσθόμενοι δ' ὅ τε κύων καὶ ὁ βουκόλος ἐπ' αὐτὸν ὥρμων· ἠρνοῦντο γὰρ ἐπιτρέψαι αὐτῷ λαβεῖν τὰς βοῦς. Ἡρακλῆς δ' ἐπέρχεται ἐπ' αὐτοὺς καὶ ἀποκτείνει ἀμφοτέρους ροπάλῳ. Ἀποκτείνας δὲ πάντας τοὺς ἐπιδραμόντας αὐτῷ, οἳ Γηρυόνην μέγιστον ἠσπάζοντο, καὶ αὐτὸν δὲ τέλος Γηρυόνην καταβαλὼν τὰς βοῦς εἰς Μυκήνας ἐκόμισεν. Εὐρυσθεὺς δ' ἡσθεὶς κατέθυσεν αὐτὰς τῇ Ἥρᾳ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

84. Ἑνδέκατος καὶ δωδέκατος ἆθλος.

Ἑνδέκατον ἆθλον ἐπέταξε παρ' Ἑσπερίδων[1] τὰ χρυσᾶ μῆλα κομίζειν· ταῦτα γὰρ χαλεπὸν κτηθῆναι παρ' ἀνδρός. Πορευόμενος οὖν Ἡρακλῆς πρῶτον εἰς Λιβύην ἀφίκετο, ἧς Ἀνταῖος ἐβασίλευε. Παρὰ τούτου Ἡρακλῆς δεκτὸς γενόμενος ἠναγκάζετο παλαίειν αὐτῷ. Ὁ γὰρ Ἀνταῖος δεχόμενος τοὺς ξένους καὶ ἐν πάλῃ τούτους χειρούμενος ἀπέκτεινε. Ἡρακλῆς μέντοι τοῦτον ἀράμενος[2] μετέωρον ἐχειρώσατο καὶ ἀπέκτεινεν.

Ἐκ τούτου εἰς Αἴγυπτον ἦλθεν, ἧς Βούσιρις, παῖς Ποσειδῶνος, ἐβασίλευεν. Οὗτος πρῶτον πολλὰ δωρούμενος τοῖς ξένοις ἦγεν ἐπί τὸν βωμὸν κἀνταῦθα ἔθυεν αὐτούς. Οὕτω καὶ Ἡρακλῆς τὸ πρῶτον μὲν ἐβιάσθη· προσφερόμενος μέντοι εἰς τὸν βωμὸν τοὺς δεσμοὺς ἔρρηξε καὶ ἐκεῖνον ἀπέκτεινεν. Οὕτω, ἃ Βούσιρις διενοήθη ἐργάσασθαι, εἴργασται αὐτῷ.

Μετὰ τοῦτο πρὸς Ἄτλαντα[3] ἧκε, παρ' οὗ διαδεξάμενος τὸν οὐρανόν, ἐκεῖνον ἐπὶ τὰ μῆλα ἔπεμψεν, αὐτὸς δὲ τὸν Ἄτλαντα ἐμιμήσατο. Ἄτλας δ' ὅμως δρεψάμενος τὰ μῆλα ἐβούλετο αὐτὸς κομίσαι Εὐρυσθεῖ, Ἡρακλέα δ' ἐκέλευσεν ἔχειν τὸν οὐρανόν. Ἡρακλῆς δ' ἐκέλευσεν Ἄτλαντα δέξασθαι τὸν οὐρανόν, ἕως σπεῖραν ἐπὶ τῆς κεφαλῆς ποιήσαιτο. Τοῦτο ἀκούσας Ἄτλας ἐπὶ γῆς καταθεὶς τὰ μῆλα τὸν οὐρανὸν διεδέξατο. Ἡρακλῆς δ' ἀνελόμενος[4] τὰ μῆλα ἀπηλλάσσετο.

Δωδέκατον ἆθλον ἐπετάγη τὸν Κέρβερον ἐξ Ἅιδου κομίζειν. Εἶχεν οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ οὐρὰν δράκοντος. Ἐλθὼν οὖν Ἡρακλῆς ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, οὗ τῆς καταβάσεως τὸ στόμιόν ἐστι, εἰς Ἅιδου κατῄει. Ἐνταῦθα θωρακισθεὶς καὶ λεοντῆν περιθέμενος συνέλαβε τὸ θηρίον, καίπερ ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος δακνόμενος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὰς χεῖρας, οὐδὲν λυμανθείς[5]· μεθ' ἡμέρας γὰρ τὸ τραῦμα ἰάθη. Ἀγαγὼν δὲ τὸν Κέρβερον εἰς Μυκήνας καὶ δείξας τοῦτον Εὐρυσθεῖ πάλιν εἰς Ἅδου ἐκόμισε.

85. Χώρα θήρας.

Τὰ ἐν τούτῳ τῷ τόπῳ θηρία παντοῖα ἦν, πλεῖστοι μὲν ὄνοι ἄγριοι, πολλοὶ δὲ στρουθοὶ καὶ μεγάλοι. Ἐνῆσαν δὲ καὶ ὠτίδες καλαὶ καὶ δορκάδες[1] ταχεῖαι. Ταῦτα τὰ θηρία οἱ τῆς χώρας ταύτης κάτοικοι τοῖς ἵπποις ἐθήρευον. Συνεξῇσαν[2] δ' ἅμα ἐπὶ θήραν ἄνδρες γέροντες καὶ νέοι. Καὶ οἱ μὲν γέροντες μετὰ θηρευτικῶν κυνῶν ἀνίχνευον τὰ ἐν τῷ δάσει θηρία, οἱ δὲ νέοι διιστάμενοι[3] ἀλλήλων ἐδίωκον τὰ πλησιάζοντα θηρία. Χαλεπὸν μέντοι ἦν θηρεῦσαι τοὺς ὄνους· οὗτοι γὰρ πολλοὶ θᾶττον πάντων τῶν ἵππων ἔθεον. Ἔστιν ὅτε δ' ὅμως ἐλάμβανόν τινας. Τὰ δὲ τῶν ἁλισκομένων κρέα παραπλήσια ἦν τοῖς ἐλαφείοις, ἁπαλώτερα δέ.

Στρουθὸν δ' οὐδεὶς ἔλαβεν. Οἱ δὲ διώξαντες ἱππεῖς ταχὺ ἐπαύοντο· πολὺ γὰρ ἀπεσπᾶτο τῇ τῶν ποδῶν ταχυτῆτι καὶ τῇ τῶν πτερύγων πτήσει. Τὰς δ' ὠτίδας ῥᾳδίως ἐλάμβανον· βραχὺ γὰρ ἐπέτοντο καὶ ταχὺ ἀπηγόρευον[4]. Τὰ δ' ἥδιστα αὐτῶν κρέα αἱ οἴκοι μένουσαι γυναῖκες παρεσκεύαζον.

86. Ὁ Στρατὸς τοῦ Ξέρξου.

Σύμπαντος τοῦ πεζοῦ στρατοῦ τὸ πλῆθος[1] ἐφάνη[2] ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες[3], ὧν ἐστρατήγουν ἓξ ἡγεμόνες· πρῶτος δὲ πάντων Μαρδόνιος ἦν. Χωρὶς[4] δὲ τούτων ἄλλαι χίλιαι δεκάδες Περσῶν ἦσαν ἀπολελεγμένων[5], οἳ ἀθάνατοι ἐκαλοῦντο· εἰ γάρ τις αὐτῶν ἐκλίποι θανάτῳ ἢ νόσῳ, ἄλλος ἡρεῖτο[6] καὶ οὐδέποτε πλείους ἢ ἐλάσσους μυρίων ἐγίγνοντο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀριθμὸς δὲ τῆς ἵππου ἐγένετο ὀκτὼ μυριάδες. Τῶν δὲ τριήρων[7] ἀριθμὸς ἐγένετο ἑπτὰ καὶ διακόσιαι καὶ χίλιαι. Παρείχοντο δὲ Κύπριοι μὲν πεντήκοντα καὶ ἑκατόν, Φοίνικες δὲ διπλασίας τούτων, Αἰγύπτιοι δὲ δυοῖν δεούσας διακοσίας. Ὡσαύτως Κίλικες ἑκατόν, Πάμφυλοι τριάκοντα, Λύκιοι πεντήκοντα, νησιῶται ἑπτακαίδεκα, Ἑλλησπόντιοι ἑκατόν. Ὀκτὼ δὲ στρατηγοὶ τοῦ σύμπαντος ναυτικοῦ ἦσαν. Οὗτος ὁ στόλος δευτεραῖος ἐξ Ἐφέσου εἰς Ἑλλήσποντον ἀφίκετο.

87. Φαέθων.

Ἥλιος ἐτέκνωσε Φαέθοντα, ὃς περὶ πᾶν μὲν ἐτόλμα, οὐδενὸς δ' ἀπὸ παιδικῆς ἡλικίας ἡττᾶτο. Ὅτε Φαέθων νεανίας ἐγένετο, ὁρῶν τὸν πατέρα ἐπὶ τεθρίππου[1] ὀχούμενον καὶ διὰ

τοῦτο ὑπὸ τῶν ἀνθρώπων τιμώμενον, ἱκέτευσε μίαν ἡμέραν παραχωρῆσαι αὐτῷ τὸ ἅρμα· οὕτω γὰρ ἤλπιζεν εὐδοκιμήσειν παρὰ τοῖς ἀνθρώποις. Ὁ δὲ πατὴρ πρῶτον μὲν ὤκνει παραχωρῆσαι τοῦτο τῷ υἱῷ, ὕστερον δ', ἐπεὶ οὗτος ᾔτιζε[2], συνεχώρησεν αὐτῷ, καίπερ εἰδὼς ὅτι ὁ υἱὸς θανατᾷ[3].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐπεὶ οὖν Φαέθων ἀνέβη ἐπὶ τοῦ τεθρίππου, ἤλαυνε μὲν αὐτὸς ἀνειμένως[4], οἱ δ' ἵπποι γνόντες ὅτι οὐ δουλεύουσι Ἡλίῳ, ἐξηνέχθησαν[5] τῆς ὁδοῦ. Καὶ τὸ μὲν πρῶτον πλανώμενοι κατὰ τὸν οὐρανὸν ἐπύρωσαν αὐτόν, εἶτα δὲ πελάσαντες τῇ γῇ ἐλυμήναντο αὐτὴν κατακαίοντες τοὺς ἀγρούς.

Διὸ Ζεὺς ὀργισθεὶς Φαέθοντα μὲν ἐκεραύνωσε, τὸν δ' Ἥλιον ἐπὶ τὴν συνήθη πορείαν ἀποκατέστησεν. Ὁ δὲ πατὴρ οἰμώζων[6] καὶ στεναχίζων ἐπὶ τῇ τοῦ υἱοῦ ἀπωλείᾳ ἔλεγεν· « Οἴμοι, ὅτι τοιούτου υἱοῦ ἀποστέρομαι ».

88. Σθενελαΐδας ἀγορεύων ἐν τῷ συνεδρίῳ τῶν Λακεδαιμονίων.

Παρελθὼν[1] Σθενελαΐδας, εἷς τῶν ἐφόρων ὤν, ἔλεξε τάδε· « Τοὺς μὲν λόγους, ὦ Λακεδαιμόνιοι, τῶν Ἀθηναίων τοὺς πλείονας τοῦ δέοντος οὐ γιγνώσκω· ἐπαινέσαντες γὰρ ἑαυτοὺς πλέον ἢ κατ' ἀξίαν[2] οὐδαμοῦ ἀντεῖπον ὡς οἱ ἡμέτεροι σύμμαχοι ἀδικώτεροι αὐτῶν ἐγένοντο. Καίτοι, εἰ πρὸς Μήδους μὲν τότε ἐγένοντο οἱ ἄριστοι τῶν Ἑλλήνων, πρὸς ἡμᾶς δὲ νῦν χείρους ἢ πρὸς τοὺς ἑαυτῶν συμμάχους, μείζονος ζημίας ἄξιοί εἰσιν. Ἡμεῖς μὲν γὰρ μετὰ τῶν συμμάχων μάλιστα ἐτιμήσαμεν καὶ αἰτιωτάτους[3] τῆς κατὰ τῶν Μήδων νίκης αὐτοὺς ἐλογισάμεθα ἐν τοῖς Ἕλλησιν. Οὗτοι δ' ἀνακουφισθέντες[4] ἀδικώτατοι πρὸς τοὺς ἡμετέρους συμμάχους ἐγένοντο. Νῦν δ' ὅμως οὐ περιοψόμεθα τοὺς συμμάχους ἀδικουμένους· κρεῖττον γὰρ μετ' αὐτῶν συμπάσχειν ἢ ἐν ἀσφαλείᾳ διατελεῖν ἐστερημένους φίλων. Ἐὰν δὲ τούτοις νῦν μὴ πολεμήσωμεν, ἀναγκασθησόμεθα πολὺ θᾶττον ἐν τῷ μέλλοντι ἐπεξιέναι[5] αὐτοῖς· τότε γὰρ μείζους γενόμενοι ἐπαχθέστεροι ἔσονται, ὅτε καὶ χαλεπώτερον ἡμῖν ἀπαλλαγῆναι τῆς δουλείας ».

Ταῦτα λέξας ἐπεψήφιζεν[6] εἰς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

89. Καταγωγὴ καὶ παιδικὴ ἡλικία Οἰδίποδος.

Ζεύς, ὁ τῶν θεῶν βασιλεύς, ἔδωκε Κάδμῳ, κτίτορι τῶν Θηβῶν, γυναῖκα Ἁρμονίαν. Πάντες τότε οἱ θεοὶ καταλιπόντες τὸν οὐρανὸν ἐν τῇ Καδμείᾳ εὐωχούμενοι ὑμνηταὶ τοῦ γάμου ἐγένοντο. Ἐν δὲ τῇ εὐωχίᾳ αὐληταί[1] καὶ ἀοιδοὶ παρῆσαν ᾄδοντες, πολλοὶ δὲ θεράποντες καὶ κλητῆρες ὑπούργουν τοῖς εὐωχουμένοις.

Κάδμου γίγνονται Ἰνὼ καὶ Σεμέλη, παῖς δὲ Πολύδωρος, ὃς γεννᾷ Λάβδακον. Μετὰ δὲ τοῦτον Λάιος ἡγεμὼν τῶν Θηβῶν καθίσταται.

Τούτῳ ὁ θεὸς Ἀπόλλων ἔχρησεν[2] ὑπὸ τοῦ υἱοῦ ἀποθανεῖσθαι. Διὸ Λάιος μνήμων τοῦ χρησμοῦ ὤν, διατρήσας τὰ σφυρὰ τοῦ γεννηθέντος περόναις τῷ νομεῖ τὸ βρέφος δίδωσιν ἐκθεῖναι. Ὁ δὲ τὸ βρέφος οἰκτίρας καὶ σωτὴρ βουληθεὶς γενέσθαι παραδίδωσιν αὐτὸ τοῖς βοσκοῖς τοῦ Πολύβου, βασιλέως τῆς Κορίνθου. Οἱ δὲ παραλαβόντες καὶ σωτῆρες αὐτοῦ γενόμενοι ἤνεγκον εἰς τὴν Πολύβου γυναῖκα. Ἡ δὲ τροφὸν παραλαβοῦσα ὑποβάλλεται[3] τὸ βρέφος καὶ θεραπεύσασα τὰ σφυρὰ Οἰδίπουν καλεῖ, τοῦτο θεμένη τὸ ὄνομα διὰ τὸ τοὺς πόδας ἀνοιδῆσαι[4].

Τελειωθεὶς δ' ὁ παῖς καὶ διαφέρων τῶν ἡλίκων ἐν ρώμῃ καὶ διὰ φθόνον ὀνειδιζόμενος ὑπὸ τῶν συμπαικτόρων ὑπόβλητος[5] ἔρχεται εἰς Δελφοὺς καὶ περὶ τῶν ἰδίων γονέων πυνθάνεται. Ὁ δὲ θεὸς ἀνεῖλεν αὐτῷ πρὸς τοὺς γονέας μὴ πορεύεσθαι· τὸν γὰρ πατέρα μέλλει φονεύσειν καὶ τὴν μητέρα γυναῖκα λήψεσθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

90. Βασιλεία Οἰδίποδος καὶ θάνατος αὐτοῦ.

Οἰδίποδι ἀκούσαντι τὸν χρησμὸν φυγὴ ἦν ἐκ Κορίνθου, ἣν πατρίδα ἐνόμιζεν. Φερόμενος δὲ διὰ Φωκίδος ἐφ' ἅρματος κατὰ τὴν μαντείαν εἰς ξένην γῆν συντυγχάνει κατά τινα στροφὴν τῆς ὁδοῦ στενὴν ἐφ' ἅρματος ὀχουμένῳ Λαΐῳ καὶ Πολυφόντῃ· κήρυξ δ' οὗτος ἦν Λαΐου. Καὶ κελεύσαντος τούτου ἐκχωρεῖν[1] τῆς ὁδοῦ καὶ κτείναντος τῶν ἵππων τὸν ἕτερον, ἀγανακτήσας Οἰδίππους καὶ μετὰ φορᾶς[2] παίσας ἀμφοτέ-

ρους τῷ ῥοπάλῳ ἀπέκτεινε, Λάιον καὶ Πολυφόντην, καὶ εἰς Θήβας παρεγένετο. Καὶ Λαΐῳ μὲν ταφὴν παρεσκεύασεν ὁ βασιλεὺς Πλαταιέων Δαμασίστρατος, τὴν δὲ βασιλείαν Κρέων παρέλαβε.

Τούτου δὲ βασιλεύοντος, μεγάλη συμφορὰ τὰς Θήβας κατέσχεν. Ἥρα γὰρ ἔπεμψε Σφίγγα, ἣ πρόσωπον μὲν γυναικός, στῆθος δέ, βάσιν καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θος ἔχουσα τρόμον τοῖς Θηβαίοις ἐνέβαλλεν· προύτεινε γὰρ αὐτοῖς ἐπὶ τὸ Φίκειον ὄρος καθεζομένη τὴν λύσιν τοῦδε τοῦ αἰνίγματος. « Τί ἐστιν, ὃ μίαν ἔχον φωνὴν τετράπουν, δίπουν, τρίπουν γίγνεται; ». Εἰ δὲ μὴ εὕροιεν τὴν λύσιν, ὑπὸ μανίας ἡ Σφὶγξ κατεχομένη κατεβίβρωσκεν[3] ἕνα.

Πολλῶν δ' ἀπολλυμένων, Κρέων ἐκζητῶν[4] ἀπαλλαγὴν τοῦ κακοῦ κηρύττει τὴν βασιλείαν καὶ τὴν Λαΐου γυναῖκα δώσειν τῷ λύσοντι τὸ αἴνιγμα.

Οἰδίπους δ' ἀκούσας ἄνθρωπον ἔφη εἶναι τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον. Οὗτος γὰρ γίγνεται βρέφος ὀχούμενος τοῖς τέτταρσι κώλοις, τελειούμενος δὲ δίπους ἐστί, γηράσκων δὲ καὶ τὴν τρίτην βάσιν λαμβάνει, τὴν βακτηρίαν.

Ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυτὴν ἔρριψεν, Οἰδίπους δὲ τὴν βασιλείαν παρέλαβε καὶ τὴν μητέρα Ἰοκάστην ἔγημεν, ἐξ ἧς ἐτέκνωσεν Ἐτεοκλέα καὶ Πολυνείκη, Ἀντιγόνην καὶ Ἰσμήνην.

Ὕστερον δὲ τῶν λανθανόντων φανέντων[5], ἡ μὲν Ἰοκάστη πνιγμὸν ἑαυτῇ παρεσκεύασεν, Οἰδίπους δ' ἐξόρυξιν τῶν ὀφθαλμῶν. Οὕτω τυφλὸς ὑπ' Ἀντιγόνης φερόμενος εἰς Κολωνὸν Ἀττικῆς ἦλθεν, ἔνθα μετ' οὐ πολὺ τελευτὴ τοῦ βίου αὐτῷ ἐγένετο.

91. Πύρρος[1] καὶ κύων.

Πύρρος, ὁ βασιλεύς, ὁδεύων ἐνέτυχε νεκρῷ ἀνδρὶ γεωργῷ. Παρ' αὐτῷ δ' ἦν ἄροτρον, δρέπανον, σκαπάνη, κοπὶς[2] καὶ τομεύς. Ἐπὶ δὲ τοῦ παρακειμένου βάθρου κύων ἐκάθητο φρουρῶν τὸν νεκρόν. Ὁ δὲ βασιλεὺς αἰσθόμενος κακούργημα γενόμενον τὸν μὲν νεκρὸν ἐκέλευσε θάψαι ἐν τάφρῳ, τὸν δὲ κύνα μεθ' ἑαυτοῦ παρέλαβεν.

Ὀλίγαις δ' ἡμέραις ὕστερον ἐν τῇ παλαίστρᾳ τοῦ θεά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τρου διηγωνίζοντο. Πύρρος δ' ἐπὶ βάθρου ἐκάθητο θεώμενος τὸν ἀγῶνα καὶ παρ' αὐτῷ ὁ κύων ἡσυχίαν ἦγεν. Ἰδὼν δ' ἐν τῇ παλαίστρᾳ τὸν φονέα τοῦ δεσπότου ἐπέδραμεν[3] ἐπ' αὐτὸν μετὰ φωνῆς καὶ τοῦ ζωστῆρος ἐπελάβετο[4]. Ὁ δὲ τῇ ξύστρᾳ καὶ τῷ βάκτρῳ ἔπαιεν αὐτόν, ἀλλ' οὐδ' οὕτω ὁ κύων ἀπηλλάττετο. Πύρρος δ' αἰσθόμενος τὸ πρᾶγμα καὶ τεκμήριον τοῦτο νομίσας ἤγαγε τὸν φονέα στρατιώτην εἰς δικαστήριον, ἔνθα τὸ κακούργημα ὡμολόγησε. Διὸ ὑπὸ Πύρρου ἐκολάσθη.

92. Οἱ Ἕλληνες πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας.

Ὅτε Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσε καὶ διὰ τῆς Δωρίδος εἰς τὴν Φωκίδα εἰσέβαλεν, αἱ μὲν νῆες τῶν Ἀθηναίων ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν, οἱ δ' ἄλλοι Ἕλληνες οὐκ ἐβουλήθησαν κατὰ γῆν ἀπαντῆσαι[1] αὐτῷ πρὸ τῆς Ἀττικῆς. Λακεδαιμόνιοι δὲ συνήγαγον τὸν στρατὸν ἐντὸς τοῦ Ἰσθμοῦ καὶ διετείχισαν[2] αὐτὸν ἐκ θαλάττης εἰς θάλατταν.

Ἀθηναῖοι δὲ πεισθέντες ὑπὸ Θεμιστοκλέους μὴ ὑπὸ τοῖς Μήδοις γενέσθαι ἀπὸ τῆς Ἀττικῆς ἔφυγον καταλιπόντες ἐν τῷ παρόντι τὴν πόλιν· καὶ οἱ μὲν γέροντες μετὰ τῶν γυναικῶν καὶ παίδων εἰς Τροιζῆνα ἀπέβησαν, οἱ δ' ἐν ἡλικίᾳ ὄντες σὺν ταῖς τριήρεσιν εἰς τὸ μεταξὺ τῆς Σαλαμῖνος καὶ Ἀττικῆς στενὸν ἔπλευσαν, ἔνθα καὶ τὸ ναυτικὸν τῶν Ἑλλήνων ἦν.

Ἐνταῦθα Εὐρυβιάδης, ὃς διὰ τὸ ἀξίωμα τὴν ἡγεμονίαν[3] τῶν νεῶν εἶχεν, ἐπίεζεν[4] ἐν τῷ συνεδρίῳ τοὺς Ἀθηναίους πλεῖν εἰς τὸν Ἰσθμόν, ἔνθα καὶ ὁ στρατὸς ἤθροιστο. Θεμιστοκλῆς δ' ἀναστὰς ἀντέλεγεν αὐτῷ. Ὁ δὲ τὴν βακτηρίαν ἦρεν ἐπ' αὐτὸν καὶ εἶπεν. «Ὦ Θεμιστόκλεις, ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους[5] ραπίζουσι ». Θεμιστοκλῆς δ' οὐδὲν ταραχθεὶς ἐπὶ τῇ ὀργῇ τοῦ Εὐρυβιάδου ἀπεκρίνατο· « Πάταξον μέν, ἄκουσον δέ ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

93. Ἀνὴρ κομπαστής[1].

Ἀνὴρ ἐπ' ἀναδρίᾳ ἑκάστοτε ὑπὸ τῶν πολιτῶν ὀνειδιζόμενος ἀπεδήμησεν ἐκ τῆς πόλεως.

Μετὰ δὲ διετίαν ἐπανελθὼν ἀλαζονείαν τοῖς πολίταις ἐπεδείκνυ· ἔλεγε γὰρ ὅτι διὰ μὲν δικαιοσύνην καὶ σωφροσύνην καὶ εὐσέβειαν μέγα ἐν τῇ ξένῃ ἐτιμᾶτο, ἐν Ῥόδῳ[2] δὲ κερδοσύνην τὴν μεγάλην εὔνοιαν τοῦ πλήθους ἐκτήσατο, ὅτι ταχυτῆτα ἐν τῷ δρόμῳ ἐπεδείξατο ἐξαίρετον, βάρος δ' ἦρε μέγα, πήδημα δ' ἥλατο[3] τοσοῦτον, ὥστε μηδένα τῶν ὀλυμπιονικῶν ἐφικέσθαι. Ὅτι δὲ τὴν ἀλήθειαν ἔλεγε μάρτυρας ἔφαινε τοὺς παρατυχόντας ἐν Ῥόδῳ.

Τῶν παρόντων μέντοι τις τὴν μωρίαν τοῦ ἀνδρὸς οὐκ ἀνεχόμενος λέγει· « Εἰ τὴν ἀλήθειαν λέγεις καὶ ἐπ' ἀρετῇ ἀξίαν ἐκτήσω ἐν τῇ ξένῃ, οὐδεμία ἔνδεια μαρτύρων ἐστίν. Ἰδοὺ ἡ Ῥόδος καὶ τὸ πήδημα ».

94. Κύρου στρατήγιον[1].

Αἱ Σάρδεις πρωτεύουσα τῆς Λυδίας ἦσαν. Τὸ δὲ περὶ αὐτὴν πεδίον εὔφορον ἦν καὶ πολλαὶ πολίχναι ἐν αὐτῷ κατεσκευασμέναι ἦσαν λαμπροῖς ναΐσκοις κεκοσμημέναι καὶ πολλοὺς ἀμπελῶνας ἔχουσαι. Περὶ τοὺς οἰκίσκους τούτων πολλὰ κηπάρια καὶ δασύλλια ἦν πλήρη ἀνθέων καὶ δενδρυλλίων, ἐν οἷς τὰ παιδία καὶ τὰ κοράσια διῆγε παίζοντα.

Τοῦτο τὸ πεδίον στρατήγιον τῆς ἐπὶ τὸν Ἀρταξέρξην στρατείας Κῦρος κατέστησε καὶ ἐνταῦθα τοὺς συστρατεύσοντας ἐπὶ τὸν ἀδελφὸν συνήθροισεν. Ἐπεὶ δ' αὐτῷ πάντα παρεσκεύαστο, ἐκάλεσε Πρόξενον τὸν Βοιώτιον παραγενέσθαι ὡς εἰς Πισίδας[2] βουλόμενος στρατεύεσθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἦκον δὲ μετ' οὐ πολὺ καὶ Σοφαίνετος ὁ Στυμφάλιος[3] καὶ Σωκράτης ὁ Ἀχαιὸς καὶ ὁ Ἀρίστιππος ὁ Θετταλὸς καὶ Πασίων ὁ Μεγαρεὺς καὶ ὁ Μένων ὁ Θετταλὸς ἔχων Δόλοπας καὶ Αἰνιᾶνας καὶ Ὀλυνθίους. Μεθ' ἡμέρας δὲ τριάκοντα ἧκε καὶ Κλέαρχος ὁ Λακεδαιμόνιος ἔχων πελταστὰς Θρᾷκας καὶ τοξότας Κρῆτας.

Ἐγένετο δ' οἱ ἐκ πάσης Ἑλλάδος Ἀθηναῖοι, Μεσσήνιοι, Ἀρκάδες, Τεγεᾶται, Μιλήσιοι, Ἐφέσιοι, Λαμψακηνοί, Κυζικηνοί, Ταραντῖνοι, καὶ ἄλλοι φυγάδες Ἕλληνες Ἀσιανοὶ εἰς τρεῖς χιλιάδας καὶ μυρίους.

95. Οἱ Ἀθηναῖοι κατὰ τὴν εἰσβολὴν τοῦ Ξέρξου.

Ἁπάντων τῶν συμμάχων διακειμένων ἀθύμως καὶ Πελοποννησίων μὲν διατειχιζόντων τὸν Ἰσθμὸν καὶ ζητούντων ἰδίαν ἑαυτοῖς σωτηρίαν, τῶν δ' ἄλλων πόλεων ὑπὸ τοῖς βαρβάροις γεγενημένων καὶ συστρατευομένων ἐκείνοις, προσπλεουσῶν δὲ τριήρων διακοσίων καὶ χιλίων καὶ πεζῆς στρατιᾶς ἀναριθμήτου μελλούσης εἰς τὴν Ἀττικὴν εἰσβαλεῖν, Ἀθηναῖοι καίπερ ἔρημοι συμμάχων γεγενημένοι καὶ τῶν ἐλπίδων ἁπασῶν διημαρτηκότες[1], ἐξὸν[2] αὐτοῖς μή μόνον τοὺς παρόντας κινδύνους διαφυγεῖν, ἀλλὰ καὶ τιμὰς ἐξαιρέτους λαβεῖν, οὐχ ὑπέμειναν τὰς παρὰ Ξέρξου δωρεάς, οὐδ' ἀσμένως πρὸς τὰς διαλλαγὰς τὰς πρὸς βαρβάρους ὥρμησαν[3], ἀλλ' αὐτοὶ μὲν ὑπὲρ τῆς ἐλευθερίας πολεμεῖν παρεσκευάζοντο, τοῖς δ' ἄλλοις τὴν δουλείαν αἱρουμένοις συγγνώμην εἶχον. Ἡγοῦντο γάρ, ἐπιφαινομένου τοῦ κινδύνου ἐκ τοσαύτης στρατιᾶς, ταῖς μὲν ταπειναῖς τῶν πόλεων προσήκειν ἐκ παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν, ταῖς δὲ ἀξιούσαις προεστάναι τῆς Ἑλλάδος οὐκ ἐξεῖναι διαφεύγειν τοὺς κινδύνους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

96. Λόγοι ἀρετῆς πρὸς Ἡρακλέα.

Οἱ θεοὶ τῶν ἀγαθῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας παρέχουσι τοῖς ἀνθρώποις. Πάντα δυνατὰ καὶ κατορθωτά, εἴς τις πονεῖ. Εἰ βούλει σοι τοὺς θεοὺς ἵλεως εἶναι, θεραπευτέον αὐτούς. Εἰ τοῖς φίλοις ἐθέλεις ἀγαπητὸς εἶναι, τοὺς φίλους εὐεργετητέον. Εἰ ὑπὸ πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, ταύτην ὠφελητέον. Εἰ τῇ Ἑλλάδι ἀξιοῖς θαυμαστὸς[1] εἶναι ἐπ' ἀρετῇ, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν[2]. Εἰ βούλει τὴν γῆν ἀφθόνους καρποὺς φέρειν, ταύτην θεραπευτέον. Εἰ οἴει ἀπὸ βοσκημάτων δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον. Εἰ διὰ πολέμου βούλει τοὺς φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς τοῦ πολέμου τέχνας μαθητέον καὶ ἀσκητέον. Εἰ δὲ βούλει καὶ τῷ σώματι δυνατὸς εἶναι, ἐθιστέον ὑπηρετεῖν τὸ σῶμα τῇ γνώμῃ[3] καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι· πάντα γὰρ ταῦτα μαθητά[4] ἐστι.

97. Ὁ Λυκοῦργος περὶ τῶν κακῶν νέων.

Λοιπὸν τοῦ Λυκούργου καὶ τόδε ἀγασθῆναι[1], τὸ κατεργάσασθαι μηδένα τῶν πολιτῶν ἐπιλήσμονα εἶναι τῶν σωτηρίων αὐτοῦ νόμων. Ἐκεῖνος τοίνυν λαμπρὰν μὲν τὴν εὐδαιμονίαν τοῖς ἀγαθοῖς πολίταις παρεσκεύασε, φανερὰν δὲ τὴν κακοδαιμονίαν τοῖς κακοῖς καὶ βλαβεροῖς. Ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσιν οἱ ἐριστικοὶ καὶ μιαροὶ[2] νέοι ἐπίκλησιν[3] μόνον ἔχουσι κακοὶ εἶναι, ἐν δὲ τῇ Λακεδαίμονι πάντες μὲν μνήμονες τῶν κακῶν πράξεων τῶν νέων εἰσί, οὐδεὶς δὲ φρόνιμος ἐν τῷ αὐτῷ ἀγοράζει[4] τῷ κακῷ οὐδὲ γυμνάζεται. Πᾶς δέ τις αἰσχυνθείη ἂν τὸν μὴ ὠφέλιμον καὶ χρήσιμον τῇ πόλει σύσκηνον παραλαβεῖν ἢ ἐν παλαίσματι συγγυμναστήν.

Πολλάκις δ' ὁ τοιοῦτος καὶ εἰς ἐπονειδίστους χώρους

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φυγὰς ἀπελαύνεται καὶ μὴν ἐν ταῖς ὁδοῖς παραχωρητέον αὐτῷ. Οἱ δὲ μάχιμοι νέοι οὕτω νοήμονές[5] εἰσιν, ὥστε προαιροῦνται θάνατον ἀντὶ τοῦ ἐπονειδίστου τούτου βίου.

98. Ἡ γῆ τῶν μακάρων[1].

Αὕτη ἡ πόλις χρυσῆ πᾶσα, τὸ δὲ τεῖχος περίκειται σμαράγδινον, πύλαι δ' ἀργυραῖ καὶ σιδηραῖ εἰσιν ἑπτά, τὸ δ' ἔδαφος τῆς πόλεως καὶ ἡ ἐντὸς τοῦ τείχους γῆ ἐλεφαντίνη[2]· αἱ δ' ἐν αὐτῇ αὔλειοι[3] οἰκίαι εἰσὶ χαρίεσσαι καὶ βωμοὶ ἔνεισι λίθινοι, ἐφ' ὧν τὰς ἑκατόμβας[4] ποιοῦσι. Καὶ ἡρῷα δὲ μαρμάρινα ἵδρυται, ἐφ' ὧν ἀναγεγραμμένα ἐστὶ τὰ λαμπρὰ παππῷα ὀνόματα. Περὶ δὲ τὴν πόλιν ὑλήεντα ἄλση περίκειται καὶ δινήεις ποταμὸς ἀρωματώδης ῥεῖ.

Ἡ δὲ κύκλῳ ὀρεινὴ χώρα πᾶσι μὲν ἄνθεσι, πᾶσι δὲ φυτοῖς ἡμέροις καὶ σκιεροῖς τέθηλεν[5]. Αἱ μὲν γὰρ ἄμπελοι ἐν ταῖς ὀρειναῖς κλιτύσι φύονται ἐτήσιαι, τοὺς δ' ἄλλους καρποὺς καὶ ὀπώρας φέρει μηνιαίους· ἀντὶ δὲ τοῦ πυροῦ οἱ στάχυες ἄρτους ἑτοίμους φύουσι. Πηγαὶ δ' ὕδατος θαλασσίου καὶ ποσίμου πολλαί εἰσι καὶ ποταμοὶ γαλακτώδεις πάμπολλοι τὴν χώραν διατέμνουσι. Πᾶσαι δὲ αἱ ἡμέραι οὕτω λαμπραί εἰσιν, ὥστε ἡ σημερινὴ οὐδὲν διαφέρει τῆς χθεσινῆς.

99. Διάλογος Σωκράτους καὶ Φαίδρου.

Σωκράτης. Πόθεν, ὦ Φαῖδρε, ἔρχει; πολλάκις γάρ σε εἶδον ἐντεῦθεν ἰόντα.

Φαῖδρος. Μεγαροῖ[1] μέν, ὦ Σώκρατες, διέτριψα τέτταρας ἡμέρας. Ἐκεῖθεν δὲ Θήβαζε[2] ἦλθον, ἔνθα ὀλίγας ἡμέρας διέμεινα. Νῦν δ' Ἀθήνησι τὸ λοιπὸν διατρίψω.

Σωκράτης. Ἄλλοτε μὲν πρότερον οὐδέποτε ἠδυνήθην

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διαλεχθῆναί σοι. Νῦν δ' εἰ βούλει καὶ μή σε ὑπερβαλλόντως βία κατέχει, δεῦρο ἴωμεν κατὰ τὸν Ἰλισσὸν καὶ διαλεχθῶμεν· ἄλλως ἀναβάλωμεν ἐς αὔριον.

Φαῖδρος. Ἄγωμεν δή, ἐπεὶ δήποτε καὶ ἀμισθὶ[3] ἡ διδασκαλία γενήσεταί μοι. Μὴ δ' ὅμως οὕτως ἄγαν σπεῦδε· ἔοικας[4] γὰρ τροχάδην καὶ οὐ βάδην ἰέναι.

Σωκράτης. Σπεύδω πρὸς ἐκείνην τὴν ὑψηλοτάτην πλάτανον, ὑφ' ἣν σκιά ἐστι μεγάλη καὶ πνεῦμα[5] μέτριον, πρίν τινας ἄλλους ταύτην κατασχεῖν.

100. Συμβουλὴ πρὸς ἄρχοντα.

Ὁ ἀγαθὸς κυβερνήτης προστάτης τῆς πόλεως ὢν βούλεται ταύτην εὐδαίμονα ποιῆσαι. Ἔοικεν οὖν ἀγωνιστῇ φιλοτιμουμένῳ[1] τὸ μέγιστον ἔργον κατορθοῦν. Τούτῳ τις παραινῶν εἴποι ἄν· « Ἴσθι[2], ὦ φίλε, τὸ κάλλιστον καὶ μεγαλοπρεπέστατον ἀγώνισμα ἀγωνιζόμενος. Πρῶτον μὲν καλῶς ἄρχων κατειργασμένος ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων· ἐφιλοῦ γὰρ καὶ πρότερον· ἄλλως οὐκ ἂν ἦρξας[3] τῆς πόλεως, οὐδ' ἂν ἔλαβες τοσαύτην ἰσχύν, οὐδ' ἂν εἶχες τοσοῦτον πλῆθος συμμάχων προθύμων συμπρᾶξαί σοι. Ἔπειτα πάντες τὴν σὴν νίκην ἀνακηρύττοιεν ἂν καὶ τὴν σὴν ἀρετὴν ὑμνοῖεν ἄν. Πᾶς δ' ὁ παρὼν σύμμαχος ἂν εἴη σοι καὶ δημοσίᾳ θαυμάζοιεν ἄν σε τῆς ἀρετῆς. Ἐργάζου καὶ πειρῶ τοὺς πολίτας εὖ ποιεῖν. Περίβλεπτος[4] δ' οὕτω καὶ θαυμαστὸς ὢν ἀγαπῷο ἂν ὑπὸ πολλῶν πόλεων καὶ τοὺς ἐχθροὺς ἂν σχοίης συμμάχους. Τοῖς δὲ συμπράττουσί σοι μηδέποτε παύου λέγων· « Ὦ φίλοι, ἐργαζώμεθα ὑπὲρ τῆς εὐδαιμονίας τῆς πόλεως καὶ ποιῶμεν αὐτὴν μὲν εὐνομεῖσθαι, τοὺς δὲ πολίτας εὖ πράττειν. Ὁ θεὸς δ' εἴη ἡμῖν βοηθός ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

101. Τὰ Πυρηναῖα ὄρη[1].

Τὰ Πυρηναῖα ὄρη πασίγνωστα ἦν τὸ πάλαι διά τε τὸ μέγεθος[2] καὶ ὕψος, τὰ δ' ἐν αὐτοῖς δάση ἔγεμεν ἰοβόλων θανατηφόρων ὄφεων. Ἐνῆν δ' ἐν αὐτοῖς ζῷα παντοδαπὰ ἄγρια, ὄνοι ταχύποδες καὶ στρουθοὶ καὶ ἄλλα, ἃ οἱ ξιφομάχοι θηρευταὶ ἐθήρευον. Ὑλοτόμοι δ' ἐκ τῆς ὕλης διπήχεις καὶ τετραπήχεις δοκοὺς ἐξῆγον, ἐξ ὧν νεωσοίκους[3] κατεσκεύαζον. Καὶ γαιάνθρακας δ' ἡ γῆ παμπόλλους ἐξέφερε.

Πολλῶν δ' ὄντων τῶν δρυμῶν, ἐν τοῖς παλαιοῖς φασι χρόνοις ὑπὸ νομέων τὴν ὕλην πυρίκαυστον γενέσθαι καὶ καῆνναι τὴν ὀρεινὴν χώραν. Διὸ συνέβη πυροειδῆ[4] πολλὰς ἡμέρας εἶναι ταύτην καὶ καῆναι τὴν γῆν. Ἐκ τούτου τὰ μὲν ὄρη Πυρηναῖα ἐκλήθη, ἡ δ' ἐπιφάνεια τῆς χώρας ἀργύρῳ ἐρρύη[5] καὶ πολλοὶ ῥύακες καθαροῦ ἀργύρου ἐγένοντο[6]. Τὴν ἀξίαν δ' αὐτοῦ ἀγνοοῦντες οἱ γηγενεῖς τοῖς Φοίνιξιν ἐδίδοσαν ἀντ' ἄλλων τινῶν φορτίων οὐκ ἀξιολόγων. Διὸ οἱ Φοίνικες πολυτάλαντοι ἐξ αὐτοῦ ἐγένοντο.

102. Θεμιστοκλῆς.

Θεμιστοκλῆς ὁ Νεοκλέους οὕτω φιλότιμος, μεγαλοπράγμων[1] καὶ πρὸς δόξαν παράφορος ἦν, ὥστε νέος ἔτι ὢν μετὰ τὴν εὐκλεᾶ ἐν Μαραθῶνι νίκην τῶν Ἀθηναίων σύννους ἐωρᾶτο καὶ ἄγρυπνος τῆς νυκτὸς διέμενε καὶ τοὺς συνήθεις πότους τῶν νέων παρῃτήθη[2]. Κατὰ μόνας δ' ἀεὶ ἐπορεύετο, ὥστε ἐδόκει ὥσπερ τις ἐχέμυθος[3] καὶ κρυψίνους εἶναι.

Ἐρωτώμενος οὖν διὰ τὸ εὐμετάβολον τοῦ ἤθους ἔλεγεν ὅτι οὐκ ἐῴη αὐτὸν καθεύδειν τὸ Μιλτιάδου τρόπαιον. Ἐπεὶ δὲ τὰ πολιτικὰ ἔπραττεν[4], οἱ μὲν ἄλλοι πάντες ᾤοντο τὴν ἐν Μαραθῶνι ἧττα τῶν βαρβάρων πέρας εἶναι τοῦ πολέμου,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Θεμιστοκλῆς δὲ προύλεγε ταύτην ἀρχὴν μειζόνων ἀγώνων. Διὸ συνέπεισεν Ἀθηναίους ἐκ τῆς Λαυρεωτικῆς[5] προσόδου ναῦς κατασκευάσαι καὶ μετ' οὐ πολὺ ἀξιολόγους ναυβάτας[6] τούτους ἐποίησε.

Τούτῳ τῷ στόλῳ κατεναυμάχησε Ξέρξην ἐν Σαλαμῖνι καὶ τοῦτον ἠνάγκασε φυγεῖν ἐκ τῆς Ἑλλάδος, καίπερ τῆς κατὰ γῆν δυνάμεως ἀθραύστου καὶ ἀξιολόγου διαμεινάσης. Διὰ τοῦτο δ' ὁμοίως ἡμιθέῳ ὑπὸ τῶν Ἑλλήνων ἐτιμᾶτο.

103. Περσέπολις ἡ πρωτεύουσα Περσῶν.

Περσέπολις μητρόπολις οὖσα τῶν Περσῶν εὐειδεστάτη[1] καὶ εὐδαιμονεστάτη τῶν ὑπὸ τὸν ἥλιον πόλεων ἦν. Οὐκ ἀνοίκειον[2] δ' εἶναι νομίζομεν περὶ τῶν ἐν ταύτῃ μεγαλοπρεπῶν καὶ πολυτελῶν βασιλείων βραχέα διελθεῖν[3].

Ταῦτα ἀξιόλογον ἄκραν εἶχεν, ἣν τεῖχος τρίπηχυ περιελάμβανεν ἐπάλξεσι[4] κατακεκοσμημένον. Τὸ δεύτερον δὲ τεῖχος κατασκευὴν ὑπεράνω τοῦ πρώτου ὁμοειδῆ τῷ προειρημένῳ εἶχεν, ὕψος δὲ διπλάσιον· ὁ δὲ τρίτος περίβολος τετράπλευρος ἦν καὶ κατεσκευασμένος πρὸς διαμονὴν[5] αἰωνίαν. Ἐν δὲ τῷ πρὸς ἀνατολὰς ὄρει οἱ πολυώνυμοι ἔκπαλαι τάφοι τῶν βασιλέων ἦσαν, οὓς προσεκύνουν οἱ εὐγενεῖς Πέρσαι. Οἱ τάφοι οὗτοι ἐν πέτραις ἐλλελαξευμένοι[6] ἦσαν πρόσβασιν[7] μὲν οὐδεμίαν ἔχοντες, ἐδέχοντο δὲ τὰς ταφὰς δι' ὀργάνων χειροποιήτων. Πλεῖστοι δ' ἐν αὐτοῖς θησαυροὶ ἐνῆσαν πρὸς τὴν παραφυλακὴν τῶν χρημάτων εὔθετοι[8] κατεσκευασμένοι, οὓς φρουροὶ ἐνυκτοφυλάκουν.

Ταῦτα τὰ βασίλεια Ἀλέξανδρος ἐνέπρησε τιμωρῶν τοῖς Ἕλλησιν, ὅτι κἀκείνων τὰ ἱερὰ καὶ πόλεις οἱ Πέρσαι πυρὶ καὶ σιδήρῳ διεπόρθησαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὀργιζόμενοι τυγχάνωσι. Μὴ νομίσῃς τὴν ἐπιμέλειαν μηδεμίαν δύναμιν ἔχειν πρὸς τὸ βελτίους καὶ φρονιμωτέρους ἡμᾶς γενέσθαι. Μηδὲ καταγνῷς[4] τῶν ἄλλων ἄνοιαν, ὅταν νομίζωσιν οὐδὲν ἂν ὠφελεῖσθαι ἡμᾶς πρὸς ἀρετήν, ἀλλὰ μηδέποτε παύσῃ διδάσκων ὅτι ἡ παίδευσις καὶ ἡ ἐπιμέλεια μάλιστα τὴν ἡμετέραν φύσιν δύνανται εὐεργετεῖν. Διὰ τοῦτο πλησίαζε μὲν τοῖς φρονιμωτάτοις, καὶ μηδενὸς οἵου ἀπείρως ἔχειν[5], ἀλλὰ τῶν μὲν ἀκροατὴς γίγνου, τῶν δὲ μαθητής. Οὕτω ἀγαπητὸς τοῖς πᾶσιν ἔσει.

108. Γαλάται.

Τὸ Γαλατικὸν ἔθνος εὐγενὲς καὶ φιλοπόλεμον ἦν, εὐδόκιμον[1] δὲ τῇ ἱππικῇ μάλιστα τέχνῃ. Τοῖς τρόποις οἱ Γαλάται οὐ κακοήθεις[2], ἀλλ' ἁπλοῖ ἦσαν, πολὺ δ' ὅμως τὸ ἀνόητον καὶ φιλόκοσμον[3] ἦν αὐτοῖς. Τοῖς σώμασι μὲν πάνυ εὐμήκεις καὶ μακρόχειρες ἦσαν, ταῖς δὲ σαρξὶ κάθυγροι καὶ λευκοί. Ὀρεσίτροφοι δ' ἦσαν τὸ πάλαι καὶ ᾤκουν ἐν χειροποιήτοις ξυλίναις οἰκίαις καὶ ὑπὸ δημογερόντων[4] διῳκοῦντο.

Ἐν ταῖς ὁδοιπορίαις καὶ ταῖς μάχαις, ἐν αἷς καὶ ἱερομάντεις ἠκολούθουν, ἐχρῶντο ἅρμασιν, ἃ ἡνίοχον καὶ παραβάτην εἶχε. Κατὰ δὲ τὰς πρὸς τοὺς ἀστυγείτονας μάχας εἰώθεσαν προάγειν τῆς παρατάξεως καὶ προκαλεῖσθαι εἰς μονομαχίαν τοὺς ἀρίστους τῶν ἀντιτεταγμένων. Τὰ ἐν ταῖς μάχαις σκῦλα[5] ἐλαφυραγώγουν παιανίζοντες καὶ ᾄδοντες καὶ ταῦτα ταῖς οἰκίαις προσήλουν[6], ὥσπερ ἐν θήρᾳ κεχειρωμένοι θηρία. Τῶν δ' εὐκλεῶν πολεμίων τὰς κεφαλὰς ἐν λάρνακι ἐτήρουν καὶ τοῖς ξένοις ἐπεδείκνυσαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

109. Ἡ νεότης.

Οἱ νέοι τὰ ἤθη εὐμετάβολοί εἰσι, πρὸς δὲ τὰς ἐπιθυμίας ἀψίκοροι[1]. Γίγνονται δὲ μάλιστα οἱ πρωτότοκοι ὀξύθυμοι καὶ φιλότιμοι, οἱ δὲ νεώτεροι φιλόνεικοι. Πολλοὶ τῶν νέων εὐπρεπεῖς τὴν ὄψιν εἰσὶ καὶ προσηνεῖς πρὸς τοὺς ἄλλους, ἐν ταῖς δυστυχίαις δ' αὐτάρκεις[2] καὶ ἥκιστα φιλοχρήματοι· συνελόντι δ' εἰπεῖν[3] εὐήθεις[4] καὶ οὐ κακοήθεις, εὐέλπιδες, φιλόσοφοι, φιλοίκειοι καὶ φιλέταιροι· τινὲς δ' ὅμως φύσεώς εἰσι πονηρᾶς, ὥστε κακοῦργοι καὶ πανοῦργοι καὶ ἐπίβουλοι[5] τοῖς ἄλλοις γίγνονται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΜΕΡΟΣ Α'

1. Ἔλαφος καὶ κυνηγοί.

Ἔλαφος ἔβοσκεν[1] εἰς[2] ἄμπελον. Ἐκεῖ κάποτε κυνηγοὶ ἐκυνηγοῦσαν[3]. Ὁ κίνδυνος διὰ τὴν ἔλαφον ἦτο σοβαρός[4]. Διὰ τοῦτο καταφεύγει κάτω[5] ἀπὸ τὰ φύλλα τῆς ἀμπέλου.

Μετ' ὀλίγον οἱ κυνηγοὶ βαδίζουν[6] πρὸς τὴν ἄμπελον, ἀλλὰ δὲν[7] εὑρίσκουν τὴν ἔλαφον καὶ φεύγουν. Ἡ ἔλαφος τότε ἐνόμιζεν ὅτι δὲν ἐκινδύνευε[8] καὶ κατέτρωγε[9] τὰ φύλλα τῆς ἀμπέλου.

Οἱ κυνηγοὶ ἀκούουν τὸν θόρυβον τῶν φύλλων· γυρίζουν[10] λοιπὸν[11] καὶ φονεύουν τὴν ἔλαφον. Αὐτὴ δέ, ἐνῷ ἀπέθνησκεν, ἔλεγε· « Δίκαια παθαίνω, διότι ἔβλαπτον τὸν σωτῆρά μου ».

2. Ὑποδοχὴ εἰς τὸν Κικέρωνα[1].

Ἦτο βράδυ[2] καὶ ὁ Κικέρων ἀνέβαινε πρὸς τὴν οἰκίαν, οἱ δὲ συμπολῖται ἐπήγαινον[3] μαζί του ὄχι μὲ σιωπὴν ἀλλὰ μὲ[4] φωνὰς καὶ μὲ κρότους καὶ ὠνόμαζον αὐτὸν Κτίστην τῆς Ρώμης.

Φῶτα[5] τοὺς δρόμους ἐφώτιζον[6] καὶ οἱ ἄνθρωποι ἐτοποθετοῦσαν[7] λαμπάδια ἐπάνω[8] εἰς τὰς θύρας, τὰ δὲ κοράσια καὶ ἀπὸ[9] τὰς στέγας τῶν οἰκιῶν ἔβλεπον[10] τὴν πομπήν. Οἱ δὲ συμπολῖται καὶ στρατηγοὶ ἔλεγον· « Ὁ ἄθρωπος οὗτος εἶναι ἀσφάλεια καὶ σωτηρία τῆς χώρας ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3. Ἡ ἀρετὴ πρὸς Ἡρακλέα.

Ἐγὼ συναναστρέφομαι[1] μὲν μὲ θεούς, συναναστρέφομαι δὲ μὲ ἀνθρώπους καλούς[2]. Ἔργον δὲ οὔτε θεῖον, οὔτε ἀνθρώπινον γίνεται χωρὶς[3] ἐμέ. Ἀπολαύω δὲ σεβασμοῦ[4] καὶ ἀπὸ τοὺς θεοὺς καὶ ἀπὸ τοὺς καλοὺς ἀνθρώπους. Καὶ πάντοτε ἐνομιζόμην καὶ τώρα εἶμαι ἀγαπητὴ μὲν συνεργὸς εἰς τοὺς ἐργατικοὺς[5] τεχνίτας, πιστὴ δὲ σύντροφος εἰς τοὺς οἰκογενειάρχας[6], βοηθὸς δὲ καλὴ εἰς τοὺς ὑπηρέτας[7].

Οἱ φίλοι μου δὲν εἶναι λαίμαργοι, ἀλλ' ὑπομένουν[8] καὶ τὴν πεῖναν καὶ τὴν δίψαν. Διὰ τοῦτο οἱ μὲν νέοι εὐχαριστοῦνται[9] διὰ τὰ ἔργα καὶ χαίρουν[10] διὰ τοὺς ἐπαίνους τῶν πρεσβυτέρων, οἱ δὲ πρεσβύτεροι εὐχαριστοῦνται[11] διὰ τὰς ἐξαιρέτους τιμὰς τῶν νέων.

4. Τὰ ἐκ τῆς γεωργίας ἀγαθά.

Ἡ ἀσχολία[1] μὲ τὴν γεωργίαν γεμίζει ἀπὸ χαρὰν[2] τοὺς γεωργοὺς καὶ ἐπιφέρει αὔξησιν τῶν ἀγαθῶν τοῦ οἴκου καὶ ἐξάσκησιν τῶν σωμάτων· διότι οἱ γεωργοὶ ζοῦν εἰς τὴν ὕπαιθρον καὶ καλλιεργοῦν μὲ τὰ βόδια τοὺς ἀγρούς, βόσκουν δὲ ἀγέλας βοδιῶν καὶ ἀλόγων. Διὰ τοῦτο ἀρκετοὶ ἀπὸ τοὺς γεωργοὺς γίνονται ἱππεῖς ἔξοχοι.

Μερικοὶ[3] δὲ ἀπ' αὐτοὺς ὑλοτόμοι εἶναι καὶ μὲ τοὺς πελέκεις εἰς τὸ πλησίον δάσος[4] κόπτουν ξύλα καὶ κτίζουν μὲ αὐτὰ καλύβας· ἄλλοι δὲ εἶναι ψαράδες καὶ ψαρεύουν ψάρια εἰς τοὺς ποταμούς.

Ὅτε τὰ σιτηρὰ ὡριμάζουν καὶ αἱ πλαγιαὶ[5] τῶν λόφων γεμίζουν ἀπὸ ἀμπέλια, ἡ φύσις στολίζεται[6]. Αὐτὰ παρέχουν ἄφθονα ἀγαθὰ εἰς τοὺς γεωργούς, ὥστε ζοῦν οὗτοι ὅμοιοι μὲ βασιλεῖς[7].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐνίοτε ὅμως καταστροφαὶ συμβαίνουν εἰς τοὺς στάχυς καὶ τὰ σταφύλια, διότι παρουσιάζονται διάφοροι ἀσθένειαι καὶ πολλάκις ποντικοὶ καταστρέφουν τὰ σπαρτά[8].

5. Ὁ Ξενοφῶν εἰς τὸν Σκιλλοῦντα.

Ὁ Ξενοφῶν ἀπὸ τὴν Ἀσίαν ἔρχεται μὲ[1] τὸν Ἀγησίλαον εἰς τὴν Ἑλλάδα· οἱ δὲ Λακεδαιμόνιοι παρέχουν εἰς αὐτὸν ὡς δῶρον κτῆμα[2] πλησίον τῆς Ἤλιδος, τὸν Σκιλλοῦντα.

Τὸ μέρος αὐτὸ εἶχεν ὡραῖον κλῖμα καὶ μεταξὺ[3] τῶν φαράγγων καὶ κοιλάδων ὑπῆρχον μικραὶ πεδιάδες. Ἐδῶ ὁ Ξένοφῶν ἠσχολεῖτο[4] μὲ τὴν γεωργίαν καὶ ἔτρεφε κατσίκια, βόδια, κόττες.

Εἰς τὸν τόπον αὐτὸν κατασκευάζει ναὸν καὶ βωμὸν τῆς θεᾶς Ἀρτέμιδος καὶ στήνει[5] ἀγάλματα καὶ ἀνδριάντας διαφόρων θεῶν. Κατὰ δὲ τὴν ἑορτὴν τῆς Ἀρτέμιδος οἱ κάτοικοι, γείτονες τοῦ κτήματος, προσέφερον θυσίαν καὶ ἐστεφάνωνον[6] τὸ ἄγαλμα τῆς θεᾶς μὲ στέφανα καὶ ταινίας[7]· εἰς δὲ τὰς φάραγγας ἐκυνηγοῦσαν τὰ παιδιὰ τοῦ Ξενοφῶντος καὶ τῶν ἄλλων πολιτῶν διάφορα θηρία, ἀγριοχοίρους, ζαρκάδια[8] καὶ ἐλάφια.

Πλησίον δὲ τοῦ ναοῦ ὑπῆρχε στήλη μὲ τὰ γράμματα « Ἱερὸς ὁ τόπος τῆς Ἀρτέμιδος εἶναι ».

6. Ἄρχων πρὸς ὑπηκόους.

« Ἄνδρες πολῖται, σᾶς ὑπόσχομαι[1], ὅτι θὰ διοικήσω[2] διὰ τὸ καλὸν τῆς πόλεως. Οἱ ἀγρόται ἀπὸ σᾶς θὰ καλλιεργοῦν τοὺς ἀγροὺς ἡσύχως, θὰ κυνηγοῦν εἰς τὰ δάση ἐλευθέρως καὶ θὰ ζοῦν[3] εὐτυχεῖς.

« Τοὺς χρηστοὺς πολίτας θὰ βραβεύω, τοὺς δὲ κακοὺς θὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παύσω νὰ βλάπτουν τὴν χώραν. Τὰ τέκνα τῶν πολιτῶν θὰ ἐκπαιδεύσω, ὅπως ἀνέθρεψα τοὺς υἱούς μου ἀνταξίως τῶν πατέρων, ὥστε νὰ πιστεύσετε ὅτι εἶμαι πραγματικὸς πατὴρ τῆς χώρας.

« Ἐάν ποτε ἐκστρατεύσω ἐναντίον τῶν ἐχθρῶν, ἐλπίζω ὅτι προθύμως ὅλοι θὰ συγκινδυνεύσετε. Μὲ γνωρίζετε δὲ καλῶς, διότι μαζί σας ἔζησα ἕως τώρα καὶ συνεκινδύνευσα μεταξὺ τῶν πρώτων[4] εἰς τοὺς κινδύνους τῆς πόλεως. Ἐὰν οὕτω διοικῶ καὶ εἶσθε πρόθυμοι, τίποτε δὲν μ' ἐμποδίζει νὰ εἶμαι καλὸς ἄρχων ».

7. Κάλλος τοπίου.

Εἰς μίαν[1] νῆσον ὑπῆρχον πλησίον[2] μὲν τῆς παραλίας[3] ὡραῖοι λιμένες, εἰς δὲ τὴν μεσόγαιαν λειβάδια καὶ φάραγγες. Ἦσαν δὲ γεμᾶτα ἀπὸ δένδρα καὶ λουλούδια καὶ πτηνά, ἀηδόνια, τρυγόνια. Ποταμοὶ δὲ πλάτους καὶ βάθους ἀρκετοῦ[4] διέσχιζον τὰς κοιλάδας καὶ τὰς πεδιάδας. Μικροὶ δὲ ρύακες μὲ[5] νερὰ κρύα ἐπότιζον[6] τοὺς κήπους καὶ τὰ λειβάδια. Ὁ ἀέρας ἦτο ἐλαφρὸς τὴν ἡμέραν καὶ τὴν νύκτα[7], ὥστε ἡ διαμονὴ ἦτο εὐχάριστος. Εἰς δὲ τὴν παραλίαν τοῦ ὅρμου ἦσαν οἰκίαι λαμπραί, τὰς ὁποίας ἐθέρμαινε καὶ περιέλουεν ὁ ἥλιος μὲ τὰς θερμὰς ἀκτῖνας.

Οἱ κάτοικοι τῆς νήσου ταύτης ἐκαλλιέργουν τοὺς ἀγροὺς καὶ πολλάκις κατέβαινον εἰς τὴν παραλίαν καὶ μὲ πλοῖα ὡραῖα ἐπικοινωνοῦσαν[8] μὲ τοὺς γείτονας τῶν ἄλλων νήσων.

8. Χειμὼν καὶ ἄνοιξις.

Ὁ χειμὼν περιγελοῦσε[1] τὴν ἄνοιξιν, διότι[2], μόλις[3] παρουσιάζεται[4] αὕτη, οὐδεὶς ἡσυχάζει, ἀλλ' ἄλλος μὲν πηγαίνει

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰς τὰ λειβάδια καὶ τὰ δάση, ἄλλος κόπτει λουλούδια καὶ κρίνους, κανεὶς δὲ δὲν μένει εἰς τὴν οἰκίαν[5]. Ἄλλοι πάλιν ἐπιβιβάζονται πλοίου, διαπλέουν πελάγη καὶ πηγαίνουν πρὸς ἄλλους ἀνθρώπους, κανεὶς δὲ δὲν δίνει προσοχὴν εἰς τοὺς ἀνέμους καὶ τὸ νερὸ τῶν βροχῶν. «Ἐγὼ δέ», εἶπεν, «ὁμοιάζω[6] μὲ ἄρχοντα καὶ κύριον, ὁ ὁποῖος προστάσσει τοὺς ἀνθρώπους νὰ κοιτάζουν[7] πρὸς τὴν γῆν καὶ νὰ τρέμουν τὸν οὐρανόν».

Ἡ δὲ ἄνοιξις λέγει. «Ἀλήθεια ἀπὸ σὲ μὲν οἱ ἄνθρωποι εὔχονται νὰ ἀπαλλαγοῦν[8] εὐχαρίστως[9], ἐμὲ δὲ καὶ ἀποῦσαν ἀναφέρουν[10] καὶ μόλις[3] παρουσιάζομαι, χαίρουν[11]».

9. Κροῖσος καὶ Ἄτυς.

Ὁ Κροῖσος εἶχε δύο υἱούς. Ἐκ τούτων ὁ μὲν εἷς εἶχε γεννηθῆ ἐκ φύσεως[1] κωφός, ὁ δὲ ἄλλος ἦτο ὑγιὴς καὶ ὠνομάζετο Ἄτυς.

Ὁ πρῶτος ἔμενεν[2] εἰς τὴν οἰκίαν, διότι ὁ πατήρ του εἶχε πιστεύσει ὅτι δὲν ἦτο πλασμένος[3] ἐκ φύσεως νὰ ἄρχῃ. Τὸν δὲ Ἄτυν εἶχεν ἐκπαιδεύσει καλῶς.

Ἐπειδὴ δὲ ὄνειρον τοῦ προεῖπεν[4] ὅτι ὁ υἱός του θὰ κινδυνεύσῃ, λέγει εἰς αὐτόν. «Παιδί μου, πολλὰς φορὰς ἔχεις κυνηγήσει καὶ ἐκστρατεύσει, ἐφεξῆς θὰ περιποιῆσαι τοὺς ἀγρούς, διότι ἀρκετὰ ἔχεις κινδυνεύσει».

Κατ' αὐτὸν τὸν χρόνον[5] ἔρχεται εἰς Σάρδεις ὁ Ἄδραστος καὶ λέγει εἰς τὸν Κροῖσον. «Ὦ βασιλεῦ, ἔχω φονεύσει χωρὶς νὰ θέλω[6] τὸν ἀδελφόν μου καὶ ὁ πατήρ μου μὲ ἔχει φυγαδεύσει ἐκ τῆς πατρίδος. Σὲ παρακαλῶ νὰ μένω πλησίον σου».

Ἔτσι ἔμενεν ὁ Ἄδραστος εἰς Σάρδεις. Αὐτὸς δὲ ἦτο αἰτία τοῦ θανάτου τοῦ Ἄτυος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

10. Ἡ Γαλατία[1].

Ἡ Γαλατία τὸν παλαιὸν καιρὸν ἦτο χώρα εὐτυχισμένη[2], διότι εἶχε κάθε εἴδους[3] προϊόντα. Εἰς τὰς πολιτείας καὶ εὐφόρους πεδιάδας ἐκαλλιέργουν τὸν σῖτον, τὰ ὄσπρια καὶ τὰ ἀμπέλια, ἔσκαπτον[4] δὲ εἰς τὸ ἔδαφος βαθεῖς βόθρους καὶ ἔβγαζον διάφορα μέταλλα καὶ χρυσὸν καὶ ἄργυρον. Ἀπὸ αὐτὰ κατεσκεύαζον παχεῖς κρίκους ὁλοχρύσους[5] καὶ ἐφόρουν[6] ὅλοι οἱ ἄνδρες καὶ αἱ γυναῖκες γύρω ἀπὸ τὸν λαιμόν.

Πρὸς τούτοις διέσχιζον[7] τὰς πεδιάδας πλατεῖς καὶ βαθεῖς ποταμοί, οἱ ὁποῖοι[8] εἶχον τὰς πηγὰς ἀπὸ λίμνας βαθείας καὶ ἀπὸ δασώδη βουνά. Ὅλοι αὐτοὶ ἐχύνοντο[9], ὅπως σήμερον, ἢ εἰς τὸ πέλαγος τῆς Μεσογείου θαλάσσης, ἢ εἰς τὸν Ὠκεανόν. Μὲ πλοῖα δὲ οἱ ἔμποροι μετέφερον τὰ φορτία ἀπὸ[10] αὐτοὺς τοὺς ποταμοὺς ἀπὸ μίαν χώραν εἰς ἄλλην καὶ ἔτσι ὀλίγα μόνον ἐμπορεύματα μετεφέροντο διὰ ξηρᾶς[11].

11. Ἡ Βρεττανική[1].

Ἀπέναντι[2] τῆς Γαλατίας πρὸς τὸ μέρος τοῦ Ὠκεανοῦ[3] ὑπάρχουν νησιὰ γεμᾶτα ἀπὸ δένδρα.

Ἀπὸ αὐτὰ[4] εἶναι μία ἡ Βρεττανικὴ γεμάτη ἀπὸ δάση, εἰς μερικὰ δὲ μέρη[5] βραχώδης. Τὸ σχῆμα αὐτῆς εἶναι ὅμοιον μὲ τρίγωνον[6] καὶ ἔχει ὄχι ὀλίγας ἐκτεταμένας[7] πεδιάδας. Ποταμοὶ δὲ βαθεῖς πολλῶν πήχεων[8] πλάτους διέσχιζον ὅλας τὰς πεδιάδας, αἱ ὁποῖαι[9] παράγουν σῖτον, γλυκεῖς καὶ ἀφθόνους καρποὺς καὶ ὅλα τὰ προϊόντα. Ὁ οὐρανὸς εἶναι γεμᾶτος ἀπὸ σύννεφα συνήθως, ὥστε ὁ ἥλιος καθ' ὅλην τὴν ἡμέραν[10] φαίνεται δι' ὀλίγας ὥρας.

Ἐδῶ ἔζων τὸν παλαιὸν καιρὸν φυλαὶ ἐντόπιαι[11] εἰς κατοικίας πτωχικάς. Εἶχον δὲ οἱ κάτοικοι ἀρκετὸν μὲν μῆκος[12],

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

συνηθείας δὲ βαρβαρικάς. Τὰς πόλεις ἔκτιζον ὡς ἐξῆς. Ἔφραττον μὲ δένδρα κύκλον μεγάλου χώρου[13] καὶ ἐδῶ ἔμενον μὲ τὰ ποίμνια, μὲ γίδια, μὲ πρόβατα, μὲ παχείας ἀγελάδας καὶ μὲ βόδια. Ἠρκοῦντο δὲ εἰς ὀλίγην τροφήν[14].

12. Ἡ Πρόνοια τοῦ Θεοῦ.

Κατανοεῖ[1] τις τὴν πρόνοιαν τοῦ θεοῦ, ὅταν ῥίπτῃ βλέμμα[2] πρὸς τὸ σύμπαν.

Ὁ εὐρὺς οὐρανός, ποὺ περικλείει[3] τὸ σύμπαν, αἱ ἐποχαὶ τοῦ ἔτους, ἡ σελήνη, ποὺ φωτίζει μὲ τὸ ὠχρὸν φῶς, καὶ ὁ ἥλιος, ποὺ θερμαίνει μὲ τὰς ἀκτῖνας τὸ σύμπαν, εἶναι ἔργα τοῦ θεοῦ. Ὁμοίως ὅλα τὰ νερά, ποὺ κατεβαίνουν ἀπὸ τὰ βουνά, διὰ νὰ ποτίσουν[4] τὰς πλατείας πεδιάδας, εἶναι ἔργα τοῦ θεοῦ. Οἱ βαθεῖς αὐτοὶ ποταμοὶ οἱ γεμᾶτοι ἀπὸ ψάρια εἰς μὲν τὰς πηγὰς εἶναι ἀβαθεῖς, καθόσον δὲ προχωροῦν[5] δέχονται καὶ ἄλλα νερὰ καὶ γίνονται ὀγκώδεις καὶ ὁρμητικοί. Εἶναι δὲ ὠφέλιμοι εἰς τοὺς ἀνθρώπους, διότι οἱ ἀγροὶ καὶ οἱ εὐωδιασμένοι κῆποι ποτίζονται ἀπὸ τὰ διαυγῆ νερὰ αὐτῶν καὶ παχύνονται.

Ἐπίσης πλάσματα τοῦ θεοῦ εἶναι τὰ δασώδη βουνὰ καὶ αἱ φάραγγες καὶ αἱ κοιλάδες αἱ γεμᾶται[6] ἀπὸ παντοῖα θηρία καὶ πτηνά. Ζοῦν δὲ τὰ μὲν θηρία εἰς βαθιὰ σπήλαια, τὰ δὲ πτηνὰ εἰς φωλεὰς ἐπάνω εἰς τὰ δένδρα· ἀπὸ τὸ γλυκὸ δὲ κρέας αὐτῶν τρέφονται οἱ ἄνθρωποι.

Τὰ φυτὰ δὲ καὶ οἱ γλυκεῖς καρποί, ποὺ ἔχουν φυτρώσει[7] ἐκ τῆς γῆς, γεμίζουν τὴν ἀτμόσφαιραν ἀπὸ γλυκὸ ἄρωμα. Καὶ εὐτελῆ δὲ καὶ ἀνάξια λόγου ζῷα καὶ ἔντομα ἐπὶ τῆς γῆς καὶ ὑποκάτω αὐτῆς, μύρμηκες, σκώληκες καὶ ἄλλα, εἶναι ἐπίσης τοῦ θεοῦ πλάσματα. Μέσα δὲ εἰς τὰ ἔγκατα τῆς γῆς εὑρίσκονται γαιάνθρακες καὶ μέταλλα διάφορα. Ὅλα αὐτά,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀφοῦ διέταξε νὰ ὑπάρχουν χάριν τῶν ἀνθρώπων ὁ θεὸς ὡς ἀγαθὸς δημιουργός, ἐπίστευσεν ὅτι οἱ ἄνθρωποι θὰ ζοῦν μὲ[8] ὅλα τὰ ἀγαθά.

13. Ἰταλία.

Ἡ Ἰταλία, ἡ ὁποία εὑρίσκεται νοτίως[1] τῶν Ἄλπεων, ἐκτείνεται μέχρι τῆς Σικελίας· διασχίζεται δὲ ἀπὸ πολλὰ δασώδη βουνὰ καὶ ἀπὸ πολλοὺς καὶ μεγάλους ποταμούς.

Ἡ χώρα, ἡ ὁποία εὑρίσκεται σχεδὸν εἰς τὸ μέσον αὐτῆς καὶ ὠνομάζετο τὸν παλαιὸν καιρὸν Λατίνη, ἦτο ἀρκετὰ[2] μεγάλη πεδιάς, πολὺ πλουσία καὶ πολλὰ προϊόντα παράγουσα. Μόνον ὀλίγα μέρη αὐτῆς ἦσαν γεμᾶτα ἀπὸ ἕλη[3] καὶ ἐκτάσεις ὄχι μεγάλαι ἦσαν βραχώδεις.

Οἱ φιλόπονοι ὅμως κάτοικοι εἰς ὄχι πολὺ χρονικὸν διάστημα μετέβαλον αὐτὰ εἰς βοσκοτόπια καὶ εἰς ἀμπελόφυτα χωράφια. Ἡ δὲ πρὸς νότον αὐτῆς εὑρισκομένη[4] χώρα, ποὺ ὀνομάζεται Καμπανία, ἦτο πολὺ εὔφορος, διότι λέγεται ὅτι ἐσπείρετο πολλὰς φορὰς τὸ ἔτος[5]. Γύρω ἀπὸ τοὺς τόπους αὐτοὺς ὑπῆρχεν τὸ Βεζούβιον ὄρος, τὸ ὁποῖον περιεβάλλετο κατὰ τὰ πλάγια ἀπὸ ἀγροὺς πολὺ ὡραίους καὶ ἀπὸ ἀμπέλια πλὴν τῆς κορυφῆς. Αὐτὸ δέ, ποὺ ἦτο ἐπίπεδος ἐπιφάνεια, ἦτο ὀλίγον ἄγονον.

Οἱ κάτοικοι αὐτῆς ἐργαζόμενοι μὲ ἐπιμέλειαν καὶ φιλοπονίαν εἶχον πλούσια τὰ ἀγαθὰ καὶ ἦσαν καλοὶ ἄνθρωποι.

14. Ἐνδιαφέρουσαι γνῶμαι.

Ὁ βασιλεὺς τῶν Αἰθιόπων, ἐρωτηθείς ποτε, τί εἶναι τὸ παλαιότερον[1] ἀπ' ὅλα[2], τὸ ὡραιότερον, τὸ σοφώτερον, τὸ κοινότερον, τὸ ὠφελιμώτερον, τὸ βλαβερώτερον καὶ τὸ εὐκολώτερον ἔλεγεν. « Τὸ παλαιότερον ἀπ' ὅλα εἶναι ὁ χρόνος,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διότι οὐδεὶς πρὸ αὐτοῦ ὑπῆρχε. Τὸ μεγαλύτερον ὁ κόσμος, τὸ σοφώτερον ἡ ἀλήθεια, διότι οὐδὲν εἶναι πολυτιμότερον ἀπ' αὐτήν. Τὸ ὡραιότερον τὸ φῶς, τὸ κοινότερον ὁ θάνατος, τὸ ὠφελιμώτερον ὁ Θεός, διότι αὐτὸς μόνον παρέχει τὰ εὐχαριστότατα εἰς τὸν ἄνθρωπον. Τὸ βλαβερώτερον δ' ὅλων ὁ κακὸς δαίμων καὶ τὸ εὐχαριστότατον τὸ γλυκύ ».

Θαλῆς ὅμως ὁ Μιλήσιος ἀπεκρίνατο ὡς ἑξῆς. « Ὁ θεός εἶναι ὁ παλαιότερος ὅλων, διότι εἶναι ἀγέννητος, ὁ κόσμος τὸ μεγαλύτερον, ὁ χρόνος τὸ σοφώτερον, διότι ὅλα ἀποκαλύπτει, ἡ ἐλπὶς τὸ κοινότερον, ἡ ἀρετὴ τὸ ὠφελιμώτερον, ἡ κακία τὸ βλαβερώτερον, ἡ ἀνάγκη τὸ ἰσχυρότερον, διότι ὅλοι ὑποχωροῦν[3] εἰς αὐτήν, τὸ δὲ εὐκολώτερον τὸ κατὰ φύσιν ζῆν».

15. Χειμὼν ἐν Λευκετίᾳ.

